S. MICHAEL AND ALL ANGELS'
THEOLOGICAL COLLEGE,
ABERDARE.

PRESENTED BY
REV. LEWIS GILBERTSON.

ΚΟΙΝΩΦΕΛΕΣ ΙΔΡΥΜΑ
ΑΛΕΞΑΝΔΡΟΣ Σ. ΩΝΑΣΗΣ

ΕΚ ΤΗΣ
ΒΙΒΛΙΟΘΗΚΗΣ

EX LIBRIS



Κ. Σπ. ΣΤΑΪΚΟΣ

First printed Greek Liturgy
(of S. John Chrysostom)
See Brunet III. 535

Premiere édition, fort rare, et que Dupin n'a point connue.

handwriting of Renouard

II
H. V. 23.

# ΑἹ ΘΕΙ͂ΑΙ ΛΕΙΤΟΥΡΓΕΙ͂ΑΙ.

## ΤΟΥ͂ ἉΓΙΟΥ ἸΩΑΝΝΟΥ ΤΟΥ͂ ΧΡΥΣΟΣΤΟΜΟΥ.

## ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ͂ ΜΕΓΑΛΟΥ.

## ΚΑῚ Ἡ ΤΩ͂Ν ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ.

## ΓΕΡΜΑΝΟΥ͂ ἈΡΧΙΕΠΙΣΚΟΠΟΥ

Κωνσταντινουπόλεως, ἱστορία ἐκκλησιαστικὴ καὶ μυστικὴ θεωρία.

S. MICHAEL'S CLERGY SCHOOL
ABERDARE

## Τοῖς πανταχοῦ ὀρθοδόξοις χριστιανοῖς Δημήτριος δοῦκας ὁ κρὴς εὖ πράττειν.

Τοὺς δόξης ὀρεγομένους καὶ ἀθανασίας τινὸς ἀντιποιουμένους, χρὴ μὴ τὸ λάθε βιώσας πρόχειρον ἔχειν, ἀλλὰ δημόσιόν τι ἔργον καὶ κοινωφελὲς καταλιπεῖν ἀεί ποτε μεριμνᾶν καὶ σπουδάζειν. ὅσοι μὲν οὖν ἢ συντιθέντες τὰ τῇ ἑαυτῶν γνώμῃ δοκοῦντα ἄριστα συγγράμματά τινα, ἐξέδωκαν, ἢ τὰ τῶν ἄλλων ἑλλήνων ποιήματα παλαιωθέντα καὶ τῇ ἐρυσίβῃ βρωθέντα, ὥσπερ ναυάγιά τινα κινδυνεύοντα πάντως καταποντισθῆναι, συλλέξαντες, καὶ ἀνανεωσάμενοι, καὶ εἰς τὸ ἀρχαῖον κάλλος συστήσαντες, τοῖς φιλολόγοις κοινὰ κατέστησαν, καλὸν μὲν ἔργον ποιοῦσιν, οὐ μὴν περὶ τὸ κάλλιστον τῆς θεολογίας βαδίζουσιν. ὅσοι δὲ τὰ τῆς θείας γραφῆς νοερὰ παραγγέλματα, καὶ τοὺς τῶν ἁγίων πατέρων λόγους τε καὶ εὐχὰς δι' ὧν αἱ ἡμέτεραι ψυχαὶ τοῖς ἐπουρανίοις ἀγγέλοις συμβιώσουσι, δημόσια τοῖς βουλομένοις ἐποίησαν, οὗτοι γνησίως καὶ τῆς παρούσης ζωῆς καὶ τοῦ μέλλοντος βίου ἡμῖν βρώματα παρέθηκαν. κἀγὼ τοιγαροῦν εὑρὼν τὰς θείας λειτουργίας τῇ ἡμῶν ἀμελείᾳ διεφθαρμένας, συνεργῷ χρώμενος Λιβίῳ τῷ Ποδοκατάρῳ αἰδεσιμωτάτῳ τῆς Κύπρου ἀρχιεπισκόπῳ, καὶ τῆς Ρόδου Μητροπολίτῃ, λογιωτάτοιν καὶ ἀρίστοιν θεολόγοιν, καὶ εἰς τὸ ἀρχαῖον κάλλος συναγαγὼν, καὶ μετὰ ἐπιμελείας ἐντυπωθῆναι ἐπινοήσας, ὑμῖν τοῖς ὀρθοδόξοις δῶρον ἔδωκα. καὶ εἰ μὲν τὸ δῶρον ἀξιόλογον ὑμῖν φαίνεται, ἐν ταῖς ὑμῶν θείαις ἱερουργίαις μνημόσυνον ἡμῶν ποιήσατε. ἔρρωσθε.

# ΔΙΑΤΑΞΙΣ ΤΗΣ ΘΕΙΑΣ ἱερουργίας, τοῦ ἐν ἁγίοις πατρὸς Ἰωάννου τοῦ Χρυσοστόμου.

Μέλλων ὁ ἱερεὺς τὴν θείαν ἐπιτελεῖν μυσταγωγίαν, ὀφείλει εἶναι προηγουμένως ἐξωμολογημένος, καὶ μετὰ πάντων κατηλλαγμένος, καὶ τὴν καρδίαν ὅση δύναμις, καθαρὰν τετηρηκὼς ἀπὸ πονηρῶν λογισμῶν, ἐγκρατεύσας τε ἀφ' ἑσπέρας, καὶ ἐγρηγορηκὼς μέχρι τοῦ τῆς ἱερουργίας καιροῦ. τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι τὴν συνήθη τῷ προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ ναῷ, καὶ ἑνωθεὶς τῷ διακόνῳ, ποιοῦσιν ὁμοῦ πρὸς ἀνατολὰς προσκυνήματα τρία, ἔμπροσθεν τῆς εἰκόνος τοῦ σωτῆρος καὶ τῆς ὑπεραγίας θεοτόκου καὶ εἰς τοὺς δύο χοροὺς ἀνὰ ἕν. ὅτε δὲ προσκυνοῦσι, λέγουσι μυστικῶς τὴν εὐχὴν ταύτην.

Κύριε ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου, καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου. ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω. ὅτι σοῦ ἐστὶν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐλθόντες δὲ εἰς τὸ ἱερατεῖον, λαμβάνουσιν ἕκαστος ἐν ταῖς χερσὶν αὐτῶν τὸ στιχάριον ἑαυτῶν, καὶ ποιοῦσι προσκυνήματα τρία κατ' ἀνατολάς, λέγοντες καθ' ἑαυτούς

ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Εἶτα ὁ διάκονος προσέρχεται τῷ ἱερεῖ, ὑποκλίνας τὴν κεφαλὴν, κρατῶν καὶ ἐν τῇ χειρὶ τῇ δεξιᾷ τὸ στιχάριον σὺν τῷ ὠραρίῳ, λέγων. Εὐλόγησον δέσποτα τὸ στιχάριον σὺν τῷ ὠραρίῳ. Ὁ δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς, λέγει.

Εὐλογητὸς ὁ θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὑποχωρεῖ ὁ διάκονος καθ᾽ ἑαυτοῦ εἰς ἓν μέρος τοῦ ἱερατείου καὶ ἐνδύεται τὸ στιχάριον, εὐχόμενος οὕτως.

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ. ἐνέδυσέ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με, καὶ ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην περιέθηκέ με κόσμῳ. Καὶ τὸ μὲν ὠράριον ἀσπασάμενος, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ. Ὁ δὲ ἱερεὺς λαβὼν καὶ αὐτὸς τὸ στιχάριον, εὐλογεῖ αὐτό. καὶ ἀσπασάμενος, ἐνδύεται, λέγων καθ᾽ ἑαυτὸν τὸν ψαλμὸν τὸν πρότερον ῥηθέντα, ὅμοιον τῷ διακόνῳ. Καὶ λαβὼν ὁ ἱερεὺς τὰ ἐπιμανίκια, ἐν μὲν τῇ δεξιᾷ χειρὶ λέγει οὕτως.

Ἡ δεξιά σου χεὶρ κύριε δεδόξασται ἐν ἰσχύϊ. ἡ δεξιά σου κύριε ἔθραυσεν ἐχθρούς. καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους. Ἐν δὲ τῇ ἀριστερᾷ χειρὶ λέγει οὕτως. Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με. Εἶτα λαβὼν τὸ ἐπιτραχήλιον, καὶ εὐλογήσας ἀσπάζεται. καὶ τιθέμενος ἐπὶ τοῦ τραχήλου αὐτοῦ, λέγει.

Εὐλογητὸς ὁ θεὸς ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν πώγωνα τὸν ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ. ὡς δρόσος ἀερμὼν, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη σιών. ὅτι ἐκεῖ ἐνετείλατο κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

Καὶ λαβὼν τὴν ζώνην, καὶ εὐλογήσας ἀσπάζεται, καὶ λέγει.

Εὐλογητὸς ὁ θεὸς ὁ περιζωννύων με δύναμιν, καὶ ἐκχέων τὴν χάριν αὐτοῦ. πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὸ ὑπογονάτιον λαβὼν, εἰ ἔστι πρωτοσύγκελλος τῆς μεγάλης ἐκκλησίας, ἢ ἄλλος τις ἔχων ἀξιότητά τινα, καὶ εὐλογήσας αὐτὸ καὶ ἀσπασάμενος, λέγει.

Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατὲ τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου. καὶ ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης. καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἶτα λαβὼν τὸ φελώνιον καὶ εὐλογήσας ἀσπάζεται, καὶ λέγει.

Οἱ ἱερεῖς σου κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται. πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀπελθόντες εἰς τὴν πρόθεσιν, νίπτουσι τὰς χεῖρας, λέγοντες.

Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. ὧν ἐν χερσὶν αἱ ἀνομίαι. ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην. λύτρωσαί με κύριε καὶ ἐλέησόν με. ὁ πούς μου ἔστη ἐν εὐθύτητι. ἐν ἐκκλησίαις εὐλογήσω σε κύριε. Ὁ δὲ διάκονος εὐτρεπίζει τὰ ἱερά. τὸν μὲν ἅγιον δίσκον ἐν τῷ μέρει τῷ ἀριστερῷ, τὸ δὲ ποτήριον ἐν τῷ δεξιῷ, καὶ τὰ ἄλλα σὺν αὐτοῖς. Εἶτα προσκυνήματα τρία

ἔμπροσθεν τῆς προθέσεως ποιήσαντες, λέγουσιν ἕκαστος τό·
Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με.
καὶ τό· Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου τῷ
τιμίῳ σου αἵματι, τῷ σταυρῷ προσηλωθείς, καὶ τῇ λό-
γχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις σω-
τὴρ ἡμῶν δόξα σοι. Καὶ ποιεῖ ὁ ἱερεὺς εὐλογητόν.
Εὐλογητὸς ὁ θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἶτα λαμβάνει ὁ ἱερεὺς
ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν προσφοράν, ἐν δὲ τῇ δεξιᾷ τὴν
ἁγίαν λόγχην, καὶ σφραγίζει σὺν αὐτῇ ἐπάνω τῆς σφρα-
γῖδος τῆς προσφορᾶς τρίς λέγει, Εἰς ἀνάμνησιν τοῦ
κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ.
Καὶ εὐθὺς πήγνυσι τὴν ἁγίαν λόγχην ἐν τῷ δεξιῷ μέρει
τῆς σφραγῖδος, καὶ ἀποτέμνων λέγει. Ὡς πρόβατον
ἐπὶ σφαγὴν ἤχθη. Ἐν δὲ τῷ ἀριστερῷ ὁμοίως πηγνὺς τὴν
ἁγίαν λόγχην, λέγει. Καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον
τοῦ κείροντος αὐτὸν, ἄφωνος οὕτως οὐκ ἀνοίγει τὸ στόμα
αὐτοῦ. Ἐν δὲ τῷ ἄνω μέρει τῆς σφραγῖδος πηγνὺς τὴν ἁγί-
αν λόγχην, λέγει. Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ
ἤρθη. Ἐν δὲ τῷ κάτω μέρει τῆς σφραγῖδος πάλιν πη-
γνὺς τὴν ἁγίαν λόγχην, λέγει. Τὴν δὲ γενεὰν αὐτοῦ
τίς διηγήσεται; Ὁ δὲ διάκονος ἐν ἑκάστῃ ἀποτομῇ λέγει.
Τοῦ κυρίου δεηθῶμεν. Κρατῶν καὶ τὸ ὠράριον αὐτοῦ ἐν
τῇ δεξιᾷ. Μετὰ ταῦτα λέγει ὁ διάκονος. Ἔπαρον δέ-
σποτα. Καὶ ὁ ἱερεὺς ἐμβαλὼν τὴν ἁγίαν λόγχην ἐκ
πλαγίου τοῦ δεξιοῦ μέρους τῆς προσφορᾶς, ἐπαίρει τὸν
ἅγιον ἄρτον, λέγων οὕτως. Ὅτι αἴρεται ἀπὸ τῆς γῆς
ἡ ζωὴ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. Ἀμήν. Καὶ τιθεὶς αὐτὸν ὕπτιον ἐν τῷ ἁγίῳ
δίσκῳ, εἰπόντος τοῦ διακόνου, Θῦσον δέσποτα.
Ὁ ἱερεὺς θύει αὐτὸν σταυροειδῶς, λέγων. Θύεται ὁ ἀ-

μνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας. Καὶ στρέφει τὸ ἕτερον μέρος, τὸ ἐγγεγραμμένον ἐπάνω τὸν σταυρὸν, Καὶ λέγει ὁ διάκονος· Νύξον δέσποτα. Ὁ δὲ ἱερεὺς νύττων αὐτὴν ἐν τῷ δεξιῷ μέρει μετὰ τῆς ἁγίας λόγχης, λέγει. Καὶ εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξεν, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Ὁ δὲ διάκονος ἐγχέει ἐν τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ κράματος καὶ ὕδατος. πρότερον πρὸς τὸν ἱερέα εἰπών, Εὐλόγησον δέσποτα. Καὶ ὁ ἱερεὺς εὐλογεῖ. Εἶτα λαβὼν ὁ ἱερεὺς τὴν δευτέραν προσφορὰν, λέγει.

Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. ἧς ταῖς πρεσβείαις πρόσδεξαι κύριε τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, Καὶ αἴρει μερίδα μετὰ τῆς ἁγίας λόγχης, τίθησιν ἐξ ἀριστερῶν τοῦ ἁγίου ἄρτου. Εἶτα λαβὼν τὴν τρίτην προσφορὰν, λέγει.

Τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων. Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν ἱεραρχῶν Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου, Ἰωάννου τοῦ χρυσοστόμου, Ἀθανασίου, Κυρίλλου, Νικολάου τοῦ ἐν μύροις, Καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν. Τοῦ ἁγίου ἀποστόλου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου. Τῶν ἁγίων μεγάλων μαρτύρων Γεωργίου, Δημητρίου, Θεοδώρου, καὶ πάντων τῶν ἁγίων μαρτύρων. Τῶν ὁσίων θεοφόρων πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάβα τοῦ ἡγιασμένου, Ὀνοφρίου, Ἀρσενίου, Ἀθανασίου τοῦ ἐν τῷ ἄθῳ, καὶ πάντων τῶν ὁσίων. Τῶν ἁγίων καὶ ἰαματικῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Θαλ-

λαλέου καὶ Τρύφονος, καὶ τῶν λοιπῶν. Τῶν ἁγίων δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης. Τοῦ ἁγίου ὁ δ(εῖ)νου τοῦ κατὰ τὴν ἡμέραν δηλονότι. Καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεός. Καὶ οὕτως αἴρων τὴν μερίδα, τίθησιν αὐτὴν ὑποκάτω ἐν τῷ ἀριστερῷ μέρει. Εἶτα λαβὼν ἑτέραν προσφορὰν, λέγει. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν. ὁ δ(εῖ)νου. Τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος. Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν ἀειμνήστων κτιτόρων τῆς ἁγίας μονῆς ταύτης. Ἐνταῦθα καὶ ζώντων καὶ τεθνεώτων, ὧν ἐθέλει ὁ ἱερεὺς μνημονεύει ὀνομαστί. Καὶ πάντων τῶν ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε κύριε συγχώρησον. Καὶ οὕτως αἴρων τὴν μερίδα, τίθησιν αὐτὴν ὑποκάτω ἐν τῷ ἀριστερῷ μέρει. Εἶτα λαβὼν ὁ διάκονος τὸ θυμιατήριον καὶ τὸ θυμίαμα, λέγει πρὸς τὸν ἱερέα. Εὐλόγησον δέσποτα τὸ θυμίαμα. Καὶ τοῦ κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς λέγει τὴν εὐχήν. Θυμίαμά σοι προσφέρομεν χριστὲ ὁ θεὸς εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ὃ προσδεξάμενος δέσποτα εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον, καὶ ἀντικατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, καὶ δώρησαι ἡμῖν αὐτὰ τοῖς δούλοις σου τοῖς ἐπικαλουμένοις τὸ ὄνομά σου τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ διάκονος. Τοῦ κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς θυμιάσας τὸν ἀστερίσκον, τίθησιν αὐτὸν ἐπάνω τοῦ ἄρτου, καὶ λέγει. Καὶ ἐλθὼν ὁ ἀστὴρ ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον κείμενον. πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ διάκονος. Τοῦ κυρίου δεηθῶμεν.

ρίου δεηθῶμεν. Ὁ ἱερεὺς θυμιάσας τὸ πρῶτον κάλυμμα, σκεπάζει τὸν ἅγιον ἄρτον, καὶ λέγει. Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο κύριος δύναμιν καὶ περιεζώσατο, καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε εἰς μακρότητα ἡμερῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Ὁ διάκονος. Τοῦ κυρίου δεηθῶμεν. Κάλυψον δέσποτα. Καὶ ὁ ἱερεὺς θυμιῶν τὸ δεύτερον κάλυμμα, καὶ σκεπάζων τὸ ἅγιον ποτήριον λέγει. Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου χριστέ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ. πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Ὁ διάκονος. Τοῦ κυρίου δεηθῶμεν. Σκέπασον δέσποτα. Καὶ ὁ ἱερεὺς θυμιῶν τὸν ἀέρα, καὶ σκεπάζων ἀμφότερα λέγει. Σκέπασον ἡμᾶς ἐν τῇ σκέπει τῶν πτερύγων σου ὁ θεὸς ἡμῶν. πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἶτα δίσαντες ἀμφότεροι τὰς χεῖρας, καὶ προσκυνήσαντες εὐλαβῶς, λέγουσιν. Εὐλογητὸς ὁ θεὸς ἡμῶν ὁ οὕτως εὐδοκήσας. πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Ὁ διάκονος ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων. Τοῦ κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προθέσεως.

Ὁ Θεὸς ὁ θεὸς ἡμῶν ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν κύριον ἡμῶν καὶ θεὸν ἰησοῦν χριστὸν ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην. καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων. Ἐκφώνως. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου,

τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ μετὰ τὴν εὐχὴν θυμιᾷ τὴν πρόθεσιν, καὶ ποιεῖ ἀπόλυσιν, λέγων.

Δόξα σοι Χριστὲ ὁ θεὸς ἡ ἐλπὶς ἡμῶν. Ὁ διάκονος. Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ ἱερεύς.

Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι ἡμᾶς ὡς ἀγαθὸς θεὸς καὶ φιλάνθρωπος. Ὁ χορός. Ἀμήν.

Καὶ οὕτω λαβὼν ὁ διάκονος τὸ θυμιατήριον, ἀπέρχεται, καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν κύκλῳ σταυροειδῶς, λέγων καθ᾽ ἑαυτόν. Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς θεός, ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ μετὰ πατρὸς καὶ πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος. Καὶ τὸν πεντηκοστὸν ψαλμόν. Ἐλέησόν με ὁ θεός. Καὶ ἐν ᾧ θυμιάσας τό, τε ἱερατεῖον καὶ τὸν ναὸν ὅλον, εἰσέρχεται αὖθις εἰς τὸ ἅγιον βῆμα, καὶ θυμιάσας αὖθις τὴν ἁγίαν τράπεζαν, καὶ τὸν ἱερέα, τὸ μὲν θυμιατήριον ἀποτίθησιν ἐν τῷ ἰδίῳ τόπῳ. αὐτὸς δὲ προσέρχεται τῷ ἱερεῖ. καὶ στάντες ὁμοῦ πρὸ τῆς ἁγίας τραπέζης, καὶ προσκυνοῦντες καθ᾽ ἑαυτούς, καὶ εὐχόμενοι, λέγουσι τό.

Βασιλεῦ οὐράνιε παράκλητε τὸ πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ ἐνσκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν. Καὶ τὸ Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὰ ἑξῆς ἅπαξ. Εἶτα ἀσπάζεται ὁ μὲν ἱερεὺς τὸ εὐαγγέλιον. ὁ δὲ διάκονος τὴν ἁγίαν τράπεζαν. Εἶτα ὁ διάκονος ὑποκλίνας

τὴν κεφαλὴν τῷ ἱερεῖ, κρατῶν καὶ τὸ ὀράριον ἑαυτοῦ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς λέγει. Καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ. Δέσποτα εὐλόγησον. Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτὸν, λέγει. Εὐλογητὸς ὁ θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ διάκονος. Εὖξαι ὑπὲρ ἐμοῦ δέσποτα. Ὁ δὲ ἱερεύς. Μνησθείη σου κς ὁ θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ ὁ διάκονος. Ἀμήν. Ἀμήν. Ἀμήν. Καὶ προσκυνήσαντες τρὶς λέγουσι καθ' ἑαυτούς. Κύριε τὰ χείλη μου ἀνοίξεις. καὶ τὰ ἑξῆς. Καὶ μετὰ τοῦτο ἐξελθὼν ὁ διάκονος τοῦ βήματος, καὶ προσκυνήσας τρὶς λέγει ἐκφώνως. Εὐλόγησον δέσποτα. Ὁ δὲ ἱερεὺς ἐκφώνως λέγει.

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ διά. ἐκφώνως. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου εὐσταθείας τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως εὐλαβείας καὶ φόβου θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν. ὁ δεῖνος. Τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός.

Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον.

Εὐχὴ ἀντιφώνου πρώτου μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος, αὐτὸς δέσποτα κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ᾽ ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου. Τοῦ ἱερέως λέγοντος τὴν εὐχὴν μυστικῶς ἐν τῷ βήματι, ἐν τῷ αὐτῷ καιρῷ ὁ διάκονος λέγει ἔξω τοῦ βήματος τὰ εἰρηνικά. Εἰ δὲ οὐκ ἔστι διάκονος, ὁ ἱερεὺς μετὰ τὴν εὐχὴν λέγει τὴν ἐκφώνησιν. καὶ μετὰ ταῦτα τὰ εἰρηνικά.

Ὁ διάκονος. Ἀντιλαβοῦ σῶσον ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα. Ὁ χορός. Σοὶ κύριε. Ἐκφω-

νως ὁ ἱερεύς. Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν. Μετὰ τὰ εἰρηνικὰ ὁ χορὸς ψάλλει τὸ πρῶτον ἀντίφωνον, ἢ τὰ τυπικά, εἰ ἔστι κυριακὴ εἰ δ' οὖν τῆς ἡμέρας. Εὐχὴ ἀντιφώνου δευτέρου μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου, σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Σημείωσαι καὶ ἐν ταύτῃ ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ εἰ ἔστι διάκονος εἰ οὐκ ἔστιν. Ὁ διάκονος. Ἔτι καὶ ἔτι τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Ἀντιλαβοῦ σῶσον ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ δια. Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα. Ὁ χορός. Σοὶ κύριε. Ἐκφώνως ὁ ἱερεύς. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν. Μετὰ τὰ εἰρηνικὰ τὰ δεύτερα ψάλλει ὁ χορὸς τὸ δεύτερον ἀντίφωνον, ἢ τὰ τυπικὰ τὰ δεύτερα, εἰ ἔστι κυριακή, εἰ δ' οὖν τῆς ἡμέρας. Εὐχὴ ἀντιφώνου τρίτου μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχὰς ὁ καὶ δύο καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμ

φέρον πλήρωσον. χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος. Σημείωσαι καὶ ἐν ταύτῃ ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ καὶ δευτέρᾳ εἰ ἔστι διάκονος, εἰ οὐκ ἔστιν. Ὁ διά. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ δια. Ἀντιλαβοῦ σῶσον ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα. Ὁ χορός. Σοὶ κύριε. Ἐκφώνως ὁ ἱερεύς. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ἐν τούτῳ δὲ ὁ χορὸς ψάλλει τὸ τρίτον ἀντίφωνον, ἢ τὴν τρίτην. εἰ δὲ καὶ ἔστι κυριακή, ψάλλει τοὺς μακαρισμοὺς καὶ τοῦ ἁγίου τῆς ἡμέρας. Ὅταν δὲ ἔλθῃ ὁ χορὸς εἰς τὸ δόξα πατρί, ὁ ἱερεὺς καὶ ὁ διάκονος ἔμπροσθεν τῆς ἁγίας τραπέζης ποιοῦσι προσκυνήματα τρία. Εἶτα λαβὼν ὁ ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, δίδωσι τῷ διακόνῳ, καὶ οὕτως ἐξελθόντες διὰ τῆς θύρας τοῦ βορείου μέρους, ἔρχονται εἰς τὸν συνήθη τόπον, καὶ ποιοῦσι τὴν μικρὰν εἴσοδον, καὶ κλίνουσιν ἀμφότεροι τὰς κεφαλάς, καὶ τοῦ διακόνου εἰπόντος ἠρέμα. Τοῦ κυρίου δεηθῶμεν. Ἅμα καὶ τὸ ὡράριον κρατοῦντες τοῖς τρισὶ δακτύλοις λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς εἰσόδου.

Εὐχὴ τῆς εἰσόδου τοῦ ἁγίου εὐαγγελίου μυστικῶς.

Δέσποτα κύριε ὁ θεὸς ἡμῶν ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα, καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν,

καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ἐκφώνως.

Ὅτι πρέπει σοὶ πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Τῆς εὐχῆς δὲ πληρωθείσης, λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα. Εὐλόγησον δέσποτα τὴν ἁγίαν εἴσοδον. δεικνύων ἅμα καὶ πρὸς ἀνατολὰς μετὰ τοῦ ὠραρίου. Καὶ ὁ ἱερεὺς ποιῶν σταυρὸν κατὰ ἀνατολάς, λέγει.

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ διάκονος προσέρχεται πρὸς τὸν ἐπίσκοπον, καὶ ἀσπάζεται τὸ εὐαγγέλιον, εἰ πάρεστιν. εἰ δ᾽ οὐ, ἀσπάζεται ὁ ἱερεύς. Καὶ τοῦ τελευταίου δὲ τροπαρίου πληρωθέντος, εἰσέρχεται ὁ διάκονος εἰς τὸ μέσον, καὶ στὰς ἔμπροσθεν τοῦ ἱερέως, ἀνυψοῖ μικρὸν τὰς χεῖρας, καὶ δεικνύων τὸ ἅγιον εὐαγγέλιον, λέγει ἐκφώνως. Σοφία ὀρθοί. Εἶτα προσκυνήσας αὐτός τε καὶ ὁ ἱερεὺς κατόπισθεν αὐτοῦ, εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα. καὶ ὁ μὲν διάκονος ἀποτίθησι τὸ ἅγιον εὐαγγέλιον ἐν τῇ ἁγίᾳ τραπέζῃ. Οἱ δὲ ψάλλοντες λέγουσι τὰ συνήθη τροπάρια, καὶ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, καὶ ὅτε πελάσωσιν εἰς τὸ ὕστερον, ὁ διάκονος πρὸς τὸν ἱερέα λέγει, κλίνων τὴν ἑαυτοῦ κεφαλήν, καὶ τὸ ὠράριον ἐν τῇ χειρὶ κρατῶν. Εὐλόγησον δέσποτα τὸν καιρὸν τοῦ τρισαγίου. Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτόν, λέγει.

Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεί. Τοῦ δὲ τροπαρίου πληρωθέντος, ἔρχεται ὁ διάκονος ἐγγὺς τῶν ἁγίων θυρῶν, καὶ δεικνύσι τὸ ὠράριον τοῖς ἔξω λέγων ἐκφώνως. Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν. Τοῦ δὲ χοροῦ ψάλλοντος τὸ τρισάγιον, ὁ ἱερεὺς εὔχεται μυστικῶς.

Εὐχὴ τοῦ τρισαγίου μυστικῶς.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ
φωνῇ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν
χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυ-
νάμεως προσκυνούμενος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι
παραγαγὼν τὰ σύμπαντα, ὁ κτίσας τὸν ἄνθρωπον κατ᾽ εἰκόνα
σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμή-
σας, ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν
ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν, ὁ
καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους
σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ
ἁγίου σου θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύ-
νησιν καὶ δοξολογίαν προσάγειν, αὐτὸς δέσποτα πρόσδεξαι
καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον
ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου, συγχώρη-
σον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον,
ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ δὸς ἡμῖν ἐν ὁ-
σιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.
πρεσβείαις τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων
τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων. Ἐκφώνως. Ὅτι
ἅγιος εἶ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν
τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.
Ταύτης δὲ τελεσθείσης, καὶ τοῦ χοροῦ ψάλλοντος τὸ δό-
ξα καὶ νῦν, ψάλλουσιν καὶ αὐτοὶ ὅ, τε ἱερεὺς καὶ ὁ διάκονος
τὸ τρισάγιον, ποιοῦντες ὁμοῦ καὶ προσκυνήματα τρία
ἔμπροσθεν τῆς ἁγίας τραπέζης. Εἶτα λέγει ὁ διάκονος
πρὸς τὸν ἱερέα. Κέλευσον δέσποτα. Καὶ ἀπέρχον-
ται ἐν τῇ καθέδρᾳ. Καὶ ὁ ἱερεὺς λέγει ἀπερχόμενος.
Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Ὁ δὲ
διάκονος. Εὐλόγησον δέσποτα τὴν ἄνω καθέδραν.
Καὶ ὁ ἱερεύς. Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς
βασιλείας σου ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ. πάντοτε
νῦν καὶ

νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ τρισαγίου, ὁ διάκονος ἐλθὼν ἔμπροσθεν τῆς θύρας, λέγει. Πρόσχωμεν.
Καὶ ὁ ἱερεύς. Εἰρήνη πᾶσιν. Ὁ διά. Σοφία.
Καὶ ὁ ἀναγνώστης ἄρχεται Ἀλληλούϊα. Ψαλμὸς τῷ δαδ. Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν. Ὁ ἀναγνώστης τὸ προκείμενον τοῦ ἀποστόλου καὶ τῆς ἡμέρας.
Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν. Καὶ τοῦ ἀποστόλου πληρωθέντος, ἐκφωνεῖ ὁ ἱερεύς. Εἰρήνη σοί.
Ὁ διά. Σοφία. Καὶ ὁ χορός. Τὸ Ἀλληλούϊα.
Ψαλμὸς τῷ δαδ. Καὶ λαβὼν ὁ διάκονος τὸ θυμιατήριον καὶ τὸ θυμίαμα προσάγει τῷ ἱερεῖ, λέγων.
Εὐλόγησον δέσποτα τὸ θυμίαμα. Τοῦ δὲ ἱερέως εὐλογοῦντος, καὶ τὴν εὐχὴν εἰπόντος ταύτην. Θυμίαμά σοι προσφέρομεν Χριστὲ ὁ θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ὃ προσδεξάμενος, ἀντικατάπεμψον ἡμῖν τὴν θείαν χάριν τοῦ παναγίου σου πνεύματος. πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θυμιᾷ ὁ διάκονος τὴν ἁγίαν τράπεζαν κύκλωθεν, καὶ τὸ ἱερατεῖον ὅλον, καὶ τὸν ἱερέα. Καὶ μετὰ τοῦτο τὸ θυμιατήριον ἀποθέμενος, ἔρχεται πρὸς τὸν ἱερέα. καὶ ὑποκλίνας αὐτῷ τὴν κεφαλὴν, κρατῶν καὶ τὸ ὠράριον σὺν τῷ ἁγίῳ εὐαγγελίῳ ἄκροις τοῖς δακτύλοις, δηλονότι ἐν ἐκείνῳ τῷ τόπῳ τῆς ἁγίας τραπέζης, λέγει. Εὐλόγησον δέσποτα τὸν εὐαγγελιστὴν τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ τοῦδε.
Ὁ δὲ ἱερεὺς σφραγίζων αὐτὸν, λέγει. Ὁ θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ τοῦδε, δώῃ σοι ῥῆμα εἰς τὸ εὐαγγελίσασθαι τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ. Καὶ ὁ διάκονος εἰπὼν τὸ Ἀμήν. καὶ προσκυνήσας μετὰ εὐλαβείας τὸ ἅγιον εὐαγγέλιον, καὶ ἐξελθὼν διὰ τῶν ἁγίων θυρῶν, προπορευομένων καὶ λαμπάδων καὶ θυμιατῶν, ἔρχεται καὶ ἵσταται ἄνω ἐν τῷ ἄμβωνι,

ἐν τῷ πεπηγμένῳ τόπῳ. Ὁ δὲ ἱερεὺς ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας τραπέζης, βλέπων πρὸς δυσμὰς, ἐκφωνεῖ. Σοφία ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Καὶ ὁ διάκονος ἐκ τοῦ κατὰ τοῦ δεῖνος ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. Καὶ ὁ ἱερεύς. Πρόσχωμεν. Τοῦ δὲ εὐαγγελίου πληρωθέντος, λέγει πρὸς τὸν διάκονον ὁ ἱερεύς. Εἰρήνη σοι. Καὶ ὁ διάκονος ἐλθὼν ἕως τῶν ἁγίων θυρῶν, ἀποδίδωσι τὸ ἅγιον εὐαγγέλιον τῷ ἱερεῖ. Εἶτα ἐν τῷ συνήθει τόπῳ στὰς, ἄρχεται οὕτως. Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας εἴπωμεν.

Ὁ χο. Κε ἐλέησον. Ὁ δια. Κε παντοκράτωρ ὁ θς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ὁ χο. Κε ἐλέησον. Ὁ διά. Ἐλέησον ἡμᾶς ὁ θς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου κε, ἐπάκουσον.

Ὁ χο. Κε ἐλέησον. Ὁ διά. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτῶν, καὶ τοῦ κυ τὸν θν ἡμῶν ἐπιπλέον συνεργῆσαι κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον. Ὁ χο. Κε ἐλέησον.

Ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος. Ἐκφώνως, Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θς ὑπάρχεις. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ δια. Εὔξασθε οἱ κατηχούμενοι τῷ κῳ. Ὁ χο. Κε ἐλέησον. Ὁ διά. Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν, ἵνα ὁ κύριος

αὐτοὺς ἐλεήσῃ. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διάκονος.
Κατηχήσῃ αὐτοῖς τὸν λόγον τῆς ἀληθείας. Ὁ χο.
Κύριε ἐλέησον. Ὁ διά. Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγ-
γέλιον τῆς δικαιοσύνης. Ὁ χο. Κύριε ἐλέησον. Ὁ δια.
Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολι-
κῇ ἐκκλησίᾳ. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διάκονος.
Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτοὺς
ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά.
Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε.
Ὁ χο. Σοὶ κύριε. Εὐχὴ κατηχουμένων πρὸ τῆς ἁγίας
ἀναφορᾶς, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου υἱὸν καὶ θεὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοὶ τὸν ἑαυτῶν αὐχένα. καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ. Ἐκφώνως. Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Μετὰ τὴν ἐκφώνησιν λαμβάνει ὁ ἱερεὺς τὸ εἰλητὸν, καὶ κατὰ τὸ σύνηθες ἐξαπλώνει. Ὁ διά. Ὅσοι κατηχούμενοι προσέλθετε, οἱ κατηχούμενοι προσέλθετε, ὅσοι κατηχούμενοι προσέλθετε, μή τις τῶν κατηχουμένων, ὅσοι πιστοὶ, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον.
Εὐχὴ πιστῶν πρώτη μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν.
ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, πρόσδεξαι ὁ θεὸς τὴν δέησιν ἡμῶν, ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου, καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπτως ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος. Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικά, εἰ ἔστιν, ἔξω τοῦ ἁγίου βήματος ἐν τῷ συνήθει τόπῳ. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ πλεόντων ὁδοιπορούντων νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς κινδύνου καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ἀντιλαβοῦ σῶσον ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Σοφία. Ὁ ἱερεὺς ἐκφώνως. Ὅτι πρέπει σοὶ πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν.

Εὐχὴ πιστῶν δευτέρα, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δώῃς ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. χάρισαι δὲ ὁ θεὸς καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς. δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύουσί σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικὰ ἔξω τοῦ ἁγίου βήματος. Ὁ ἱερεὺς ἐκφώνως.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Μετὰ τὴν ἐκφώνησιν λέγει τὴν εὐχὴν καθ' ἑαυτόν, καὶ οἱ μὲν ψάλται ψάλλουσι τὸν χερουβικὸν ὕμνον, ὁ δὲ διάκονος προσελθὼν τῷ ἱερεῖ μετὰ θυμιάματος, θυμιᾷ τὴν ἁγίαν τράπεζαν σταυροειδῶς κύκλῳ, καὶ τὸ ἱερατεῖον, καὶ τὸν ἱερέα, καὶ μετὰ τοῦτο ἵσταται ἐν τῇ ἀριστερᾷ τοῦ ἱερέως εὐλαβῶς.

Εὐχή, ἣν λέγει ὁ ἱερεὺς μυστικῶς, τοῦ χερουβικοῦ ᾀδομένου.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι βασιλεῦ τῆς δόξης, τὸ γὰρ διακονεῖν σοι, μέγα καὶ φοβερόν, καὶ αὐταῖς ταῖς ἐπουρανίοις δυνάμεσι, ἀλλ' ὅμως διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς δεσπότης τῶν ἁπάντων, σὺ γὰρ μόνος κύριε ὁ θεὸς ἡμῶν δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων ὁ ἐπὶ

θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν σεραφὶμ κύριος, καὶ βασιλεὺς τοῦ ἰσραήλ, ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου. καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ τίμιον αἷμα. σοὶ γὰρ προσεύχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ μὴ δὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου, τὰ δῶρα ταῦτα, σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος, καὶ προσδεχόμενος καὶ διαδιδόμενος χριστὲ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Πληρωθείσης δὲ τῆς εὐχῆς, εὔχονται ὁμοῦ τὸν χερουβικὸν ὕμνον, καὶ τὸν . ν . ψαλμὸν μυστικῶς, καὶ προσκυνοῦντες τρίς, ἀπέρχονται ἐν τῇ προθέσει, προπορευομένου τοῦ διακόνου μετὰ θυμιάματος, καὶ θυμιάσας τὰ ἅγια καθ' ἑαυτὸν εὐχόμενος τὸ ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ πρὸς τὸν ἱερέα, λέγει. Ἔπαρον δέσποτα.

Ὁ δὲ ἱερεὺς ἄρας τὸν ἀέρα, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ τοῦ διακόνου, λέγων. Ἐν εἰρήνῃ ἐπάρατε τὰς χεῖρας ἡμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν κύριον, εὐλογήσαι σε κύριος ἐκ σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὸν ἅγιον δίσκον ἐπὶ τῆς κορυφῆς αὐτοῦ ὁ διά-

κονος μετὰ προσοχῆς λαμβάνει. Ὁ ἱερεὺς αἴρων τὸ ἅγιον ποτήριον, καὶ ὁ διάκονος κρατῶν ἐν τῇ δεξιᾷ αὐτοῦ ἑνὶ δακτύλῳ τὸ θυμιατήριον, καὶ διερχόμενοι τὸν ναὸν, εὔχονται ἀμφότεροι. Ὑπὲρ πάντων λέγοντες. Μνησθείη κύριος ὁ θεὸς πάντων ἡμῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Καὶ πολλάκις τοῦτο λέγουσιν, ἕως ἂν πληρωθῇ ἡ μεγάλη εἴσοδος. Εἰσερχόμενοι δὲ τὸ ἅγιον βῆμα, λέγουσιν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Εἶτα ὁ ἱερεὺς ἀποτιθεὶς τὰ ἅγια, λέγει.

Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Εἶτα ἀποτίθησι τὰ καλύμματα ὁ ἱερεὺς ἀπὸ τοῦ ἁγίου δίσκου καὶ τοῦ ἁγίου ποτηρίου, τὸν δὲ ἀέρα λαβὼν ἀπὸ τῶν ὤμων τοῦ διακόνου, καὶ θυμιάσας αὐτὸν, ἐπισκεπάζει δι' αὐτοῦ τὰ ἅγια. Εἶτα ὁ διάκονος θυμιᾷ τὰ ἅγια τρὶς, λέγων οὕτως.

Ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν σιών.

Εἶτα εὐχόμενοι τό. Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, ἔμπροσθεν τῆς ἁγίας τραπέζης προσκυνοῦσι τρὶς. Καὶ ὁ μὲν ἱερεὺς ἵσταται. ὁ δὲ διάκονος τὸν αὐχένα κλίνας πρὸς τὸν ἱερέα λέγει.

Εὖξαι ὑπὲρ ἐμοῦ δέσποτα. Ὁ δὲ ἱερεὺς λέγει.

Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Ὁ δὲ διάκονος λέγει. Τὸ αὐτὸ ἅγιον πνεῦμα συλλειτουργήσει ὑμῖν καὶ ἡμῖν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Τότε γοῦν ὁ διάκονος λέγει. Μνήσθητί μου δέσποτα ἅγιε. Ὁ δὲ ἱερεὺς λέγει.

Μνησθείη σου κύριος ὁ θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ διά. Ἀμήν. Ἀμήν. Ἀμήν. Καὶ προσκυνήσας, ἔρχεται ἐν τῷ συνήθει τόπῳ λέγων. Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ κυρίῳ. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως καὶ εὐλαβείας καὶ φόβου θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον.

Εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν, ἣν λέγει ὁ ἱερεὺς μυστικῶς.

Κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου. Ὁ διά. Ἀντιλαβοῦ σῶσον ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Τὴν ἡμέραν πᾶσαν τελείαν εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ κυρίου αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε. Ὁ διά. Ἄγγελον εἰρήνης πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ κυρίου αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε. Ὁ διά. Συγγνώμην καὶ

ἄφεσιν

ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν
παρὰ τοῦ κῦ αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε.
Ὁ διά. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν,
καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ κυρίου αἰτησώμεθα.
Ὁ χο. Παράσχου κε͂. Ὁ διά. Τὸν ὑπόλοιπον χρό-
νον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι,
παρὰ τοῦ κῦ αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε.
Ὁ διά. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα
ἀνεπαίσχυντα εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ
τοῦ φοβεροῦ βήματος, παρὰ τοῦ κυρίου αἰτησώμεθα.
Ὁ χο. Παράσχου κύριε. Ὁ διά. Τῆς παναγίας
ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν
θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν
ἁγίων μνημονεύσαντες ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν
τὴν ζωὴν ἡμῶν χῷ τῷ θῷ παραθώμεθα. Ὁ χο.
Σοὶ κε͂. Ὁ ἱερεὺς ἐκφώνως. Διὰ τῶν οἰκτιρμῶν
τοῦ μονογενοῦς σου υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ πα-
ναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν.
Ὁ ἱερεὺς. Εἰρήνη πᾶσιν. Ὁ διά. Ἀγαπήσωμεν
ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν. Ὁ χορός.
Πρᾶ υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώ-
ριστον. Ὁ ἱερεὺς προσκυνεῖ τρίς, λέγων μυστικῶς τρίς.
Ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου, κύριος στερέωμά μου καὶ
καταφυγή μου. Καὶ ὁ διάκονος περιπτύξας εἰλεῖ τὸ ὡρά-
ριον αὐτοῦ, καὶ προσκυνεῖ τρίς, καὶ ἐπισημαίνεται ἐκφώνως.
Τὰς θύρας τὰς θύρας ἐν σοφίᾳ πρόσχωμεν. Καὶ ὁ χο.
Τὸ Πιστεύω. Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ἁγίου
συμβόλου, λέγει ὁ διάκονος ἐκφώνως. Στῶμεν καλῶς,
στῶμεν μετὰ φόβου, πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν
εἰρήνῃ προσφέρειν. Ὁ χο. Ἔλεον εἰρήνης, θυσίαν
αἰνέσεως. Ὁ ἱερεὺς ἐκφώνως.

Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος εἴη μετὰ πάντων ὑμῶν. Ὁ χο. Καὶ μετὰ τοῦ πνεύματός σου. Ὁ ἱερεύς. Ἄνω χῶμεν τὰς καρδίας. Ὁ χο. Ἔχομεν πρὸς τὸν κύριον. Ὁ ἱερεύς. Εὐχαριστήσωμεν τῷ κυρίῳ. Ὁ χο. Ἄξιον καὶ δίκαιόν ἐστι προσκυνεῖν πατέρα υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου, σὺ γὰρ εἶ θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν σὺ καὶ ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον. σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι καὶ τῷ μονογενεῖ σου υἱῷ καὶ τῷ πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς γεγενημένων. εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας. καίτοι σοὶ παρεστήκασι χιλιάδες ἀρχαγγέλων, καὶ μυριάδες ἀγγέλων, τὰ χερουβίμ, καὶ τὰ σεραφίμ, ἑξαπτέρυγα πολυόμματα μετάρσια πτερωτά. Ἐκφώνως. Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα βοῶντα κεκραγότα καὶ λέγοντα. Ὁ χορός. Ἅγιος ἅγιος ἅγιος κύριος σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Ὁ διάκονος δὲ λαμβάνει τὸν ἀστερίσκον, καὶ ποιεῖ σταυροῦ εἶδος ὑπὲρ τοῦ ἁγίου δίσκου, καὶ σπογγίσας αὐτὸν ἐπὶ εἰλητοῦ, καὶ ἀσπασάμενος, τίθησιν αὐτὸν μετὰ τοῦ ἀέρος. Εἶτα μετα-

καλύπτει ἐν τῷ δεξιῷ μέρει, καὶ ῥιπίζει ἐπάνω τῶν ἁγίων μετὰ ῥιπιδίου εὐλαβῶς, εἰ δὲ οὐκ ἔστι ῥιπίδιον, ποιεῖ τοῦτο μετὰ καλύμματος. Ἐπεύχεται μυστικῶς ὁ ἱερεύς.

ΜΕτὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων δέσποτα φιλάνθρωπε βοῶμεν καὶ λέγομεν, ἅγιος εἶ καὶ πανάγιος σὺ καὶ ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον, ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου, ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν μονογενῆ σου υἱὸν δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον, ὃς ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσὶν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών. Ὁ ἱερεὺς κλίνει τὴν κεφαλὴν, καὶ αἴρων τὴν δεξιὰν αὐτοῦ, μετὰ εὐλαβείας, εὐλογεῖ τὸν ἅγιον ἄρτον, ἐκφάνως λέγων. Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁ χο. Ἀμήν. Ὁ δὲ διάκονος ἀπτόμενος τοῦ ἰδίου ὠραρίου, δείκνυσι σὺν τῷ ἱερεῖ καὶ αὐτὸς τὸν ἅγιον δίσκον, ὁμοίως καὶ ἐπὶ τὸ ἅγιον ποτήριον. ὡσαύτως καὶ ὅταν ἀναφωνεῖ ὁ ἱερεὺς τὰ σὰ ἐκ τῶν σῶν. Ὁ ἱερεὺς μυστικῶς. Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων. Ἐκφάνως ὁ ἱερεὺς τὴν χεῖρα ἔχων ἄνωθεν μετὰ εὐλαβείας, καὶ εὐλογῶν, λέγει. Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ἡμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁ χο. Ἀμήν. Ὁ ἱερεὺς κλίνας τὴν κεφαλὴν ἐπεύχεται μυστικῶς.

ΜΕμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ,

τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας. Ἐκφώνως. Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα καὶ διὰ πάντα. Ὁ χορ. Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν κύριε, καὶ δεόμεθά σου ὁ θεὸς ἡμῶν. Ὁ ἱερεὺς πάλιν κλίνας τὴν κεφαλὴν ἐπεύχεται μυστικῶς. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, κατάπεμψον τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα. Ὁ διάκονος ἀποτίθησι τὸ ῥιπίδιον, ὅπερ ἐκράτει, ἢ κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τοῦ ἱερέως, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ εὐχόμενοι καθ' ἑαυτοὺς τό· Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Λέγουσι μυστικῶς τρίς.

Κύριε ὁ τὸ πανάγιον πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀντανέλῃς ἀφ' ἡμῶν. Καὶ τὸ Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Εἶτα τὴν κεφαλὴν κλίνας ὁ διάκονος, δείκνυσι σὺν τῷ ὠραρίῳ τὸν ἅγιον ἄρτον, καὶ λέγει μυστικῶς. Εὐλόγησον δέσποτα τὸν ἅγιον ἄρτον. Καὶ ὁ ἱερεὺς ἀνιστάμενος, σφραγίζει τρὶς τὰ ἅγια δῶρα, λέγων μυστικῶς. Ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ χριστοῦ σου. Ὁ διά. Ἀμήν. Καὶ αὖθις ὁ διάκονος. Εὐλόγησον δέσποτα τὸ ἅγιον ποτήριον. Ὁ δὲ ἱερεὺς εὐλογῶν, λέγει. Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ χριστοῦ σου. Ὁ διά. Ἀμήν. Καὶ αὖθις ὁ διάκονος δεικνύων μετὰ ὠραρίου ἀμφότερα τὰ ἅγια, λέγει. Εὐλόγησον δέσποτα. Ὁ δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς ἀμφότερα τὰ ἅγια, λέγει. Μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ. Ὁ διά.

Ἀμήν. Ἀμήν. Ἀμήν. Καὶ τὴν κεφαλὴν ὑποκλίνας ὁ διάκονος τῷ ἱερεῖ, καὶ εἰπὼν τὸ Μνήσθητί μου ἅγιε δέσποτα τοῦ ἁμαρτωλοῦ. Μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ ῥιπίδιον αὖθις ὡς πρότερον. Ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς. Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυομένων Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος ἐν πίστει τετελειωμένου. Ἐκφώνως. Ἐξαιρέτως τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Ὁ χο. ψάλλει. Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σὲ τὴν θεοτόκον. ἢ τὸ τῆς ἡμέρας. Ὁ διάκονος θυμιᾷ γύρωθεν τὴν ἁγίαν τράπεζαν καὶ τὰ δίπτυχα· τῶν τε κεκοιμημένων καὶ ζώντων ὧν βούλεται μνημονεύει. Ὁ δὲ ἱερεὺς κλινόμενος εὔχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ. Τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων. Τοῦ ἁγίου τοῦ δεῖνος, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν. Καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεός, καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου. Ἐνταῦθα ὁ ἱερεὺς μνημονεύει ὧν θέλει ζώντων καὶ τεθνεώτων. Ὑπὲρ ζώντων λέγει.

Ὑπὲρ σωτηρίας ἐπισκέψεως ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ θεοῦ τοῦ δεῖνος. Ὑπὲρ τεθνεώτων λέγει.

Ὑπὲρ ἀναπαύσεως καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου δεῖνος ἐν τόπῳ φωτινῷ, ἔνθα ἀπέδρα λύπη στεναγμός, ἀνάπαυσον αὐτοὺς ὁ θεὸς ἡμῶν, καὶ ἀνάπαυσον

αὐτοὺς ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε, μνήσθητι κύριε πάσης ἐπισκοπῆς ὀρθοδόξου τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου τῆς ἐν χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης. Ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας. Ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων. Παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. δὸς αὐτοῖς κύριε εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν πάσῃ ἐν εὐσεβείᾳ καὶ σεμνότητι. Ὁ μὲν διάκονος ἐπιστρέφει πρὸς τὴν θύραν τοῦ ἁγίου βήματος κρατῶν τὸ ὠράριον τοῖς τρισὶν ἄκροις δακτύλοις, καὶ λέγει. Καὶ πάντων καὶ πασῶν. Ὁ δὲ χορὸς ψάλλει. Καὶ πάντων καὶ πασῶν. Ὁ δὲ ἱερεὺς ἐκφωνεῖ. Ἐν πρώτοις μνήσθητι κύριε τοῦ ἀρχιεπισκόπου ἡμῶν ὁ δεῖνος. ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σῶον ἔντιμον ὑγιῆ μακροημερεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ διάκονος πρὸς τῇ θύρᾳ στὰς, λέγει. Τοῦ ὁ δεῖνος πανιερωτάτου μητροπολίτου, ἢ ἐπισκόπου, ὅστις ἂν ᾖ. Καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα ταῦτα εὐλαβεστάτου ἱερέως ὁ δεῖνος. Ὑπὲρ σωτηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, καὶ πάντων καὶ πασῶν. Ὁ χο. Καὶ πάντων καὶ πασῶν.

Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μνήσθητι κύριε τῆς πόλεως ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι κύριε πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι κύριε τῶν καρποφορούντων καὶ

καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον. Ἐκφώνως. Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν.

Ὁ ἱερεὺς ἐπιστρέφει πρὸς τὴν δύσιν, καὶ εὐλογῶν λέγει ἐκφώνως. Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ὁ χο. Καὶ μετὰ τοῦ πνεύματός σου. Καὶ ὁ διάκονος ἐξερχόμενος, εἰ ἔστιν, εἰ δ᾽ οὖν ὁ ἱερεὺς, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει. Πάντων τῶν ἁγίων μνημονεύσαντες ἔτι καὶ ἔτι τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον.

Ὁ διά. Ὅπως ὁ φιλάνθρωπος θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου πνεύματος, τοῦ κυρίου δεηθῶμεν.

Ὁ χο. Κύριε ἐλέησον. Ὁ διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως ὀργῆς κινδύνου καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμεν καὶ δεόμεθα καὶ ἱκετεύομεν, καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης μετὰ καθαροῦ συνειδότος εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς πνεύματος ἁγίου κοινωνίαν,

εἰς βασιλείας οὐρανῶν κληρονομίαν, μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα. Ὁ διά. Ἀντιλαβοῦ σῶσον ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Τὴν ἡμέραν πᾶσαν τελείαν ἁγίαν εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ κυρίου αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε. Ὁ διά. Ἄγγελον εἰρήνης πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε. Ὁ διά. Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε. Ὁ διά. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ κυρίου αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε. Ὁ διά. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ κυρίου αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε. Ὁ διά. Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα. Ὁ χο. Σοὶ κύριε. Ἐκφώνως ὁ ἱερεύς. Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ παρρησίας ἀκατακρίτως τολμᾷν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον θεὸν πατέρα, καὶ λέγειν. Ὁ χο. Τὸ Πάτερ ἡμῶν. Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν. Ὁ χο. Καὶ μετὰ τοῦ πνεύματός σου. Ὁ διά. Τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε. Ὁ χορός. Σοὶ κύριε. Κλίνας γοῦν ὁ διάκονος μικρὸν τὴν κεφαλὴν, καὶ ὁρῶν τὸν ἱερέα προσκυνοῦντα, προσκυνεῖ καὶ αὐτός. Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Εὐχαριστοῦμεν

Εὐχαριστοῦμέν σοι βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, αὐτὸς δέσποτα οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς, οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ θεῷ. σὺ οὖν δέσποτα τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν. τοῖς πλέουσι σύμπλευσον. τοῖς ὁδοιποροῦσι συνόδευσον. τοὺς νοσοῦντας ἴασαι ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων.

Ἐκφώνως ὁ ἱερεύς. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Πρόσχες κε Ἰησοῦ χε ὁ θεὸς ἡμῶν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών. καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου, καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ. Εἶτα προσκυνεῖ ὁ ἱερεὺς καὶ ὁ διάκονος ἐν ᾧ εἰσὶ τόπῳ, λέγοντες μυστικῶς τρίς. Ὁ θς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Καὶ ὁ λαὸς ὁμοίως πάντες μετὰ εὐλαβείας προσκυνοῦσιν. Ὅταν δὲ ἴδῃ ὁ διάκονος τὸν ἱερέα ἐκτείνοντα τὰς χεῖρας καὶ ἁπτόμενον τοῦ ἁγίου ἄρτου πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν ὕψωσιν, ἐκφωνεῖ. Πρόσχωμεν. Καὶ ὁ ἱερεύς. Τὰ ἅγια τοῖς ἁγίοις. Ὁ χο. Εἷς ἅγιος εἷς κύριος Ἰησοῦς χς εἰς δόξαν θυ πρς, Ἀμήν. Εἶτα ψάλλει ὁ χορὸς τὸ κοινωνικὸν τῆς ἡμέρας, ἢ τοῦ ἁγίου. Καὶ ὁ διάκονος ζώννυται τὸ ὠράριον αὐτοῦ σταυροειδῶς, καὶ στὰς ἐκ δεξιῶν τοῦ ἱερέως

κρατοῦντος τὸν ἄρτον, λέγει. Μέλισον δέσποτα τὸν ἅγιον ἄρτον. Ὁ δὲ ἱερεὺς μελίζων αὐτὸν εἰς τέσσαρα μετὰ προσοχῆς καὶ εὐλαβείας, λέγει.

Μελίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ θῦ ὁ υἱὸς τοῦ πατρὸς, ὁ μελιζόμενος, καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζει. Τότε λαμβάνει τὸ ἓν μέρος τοῦ ἁγίου ἄρτου, καὶ ἐν τῇ χειρὶ ἔχει. Καὶ ὁ διάκονος δεικνύων σὺν τῷ ὠραρίῳ τὸ ἅγιον ποτήριον, λέγει.

Πλήρωσον δέσποτα τὸ ἅγιον ποτήριον. Ὁ δὲ ἱερεὺς λέγει. Πλήρωμα πίστεως πνεύματος ἁγίου. Καὶ ποιεῖ διὰ σταυρὸν, καὶ ἐμβάλλει εἰς τὸ ἅγιον ποτήριον. Ὁ διά. Ἀμήν. Καὶ δεχόμενος τὸ ζέον, λέγει πρὸς τὸν ἱερέα. Εὐλόγησον δέσποτα τὴν ἁγίαν ζέσιν ταύτην. Ὁ δὲ ἱερεὺς εὐλογεῖ, λέγων. Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ δὲ διάκονος ἐκχέει σταυροειδῶς ἔνδον τοῦ ἁγίου ποτηρίου, λέγων. Ζέσις πίστεως πλήρης πνς ἁγίου, Ἀμήν. Καὶ τοῦτο ποιεῖ ἐκ τρίτου. Καὶ ἀποτιθέμενος τὸ ζέον, ἵσταται μικρὸν ἄποθεν. Ὁ δὲ ἱερεὺς λέγει, πρόσελθε διάκονε. καὶ προσελθὼν ὁ διάκονος, ποιεῖ μετάνοιαν εὐλαβῶς, αἰτῶν συγχώρησιν. Ὁ δὲ ἱερεὺς κρατῶν τὸν ἅγιον ἄρτον, δίδωσι τῷ διακόνῳ. Καὶ ἀσπασάμενος ὁ διάκονος τὴν μεταδιδοῦσαν αὐτῷ χεῖρα, λαμβάνει τὸν ἅγιον ἄρτον, λέγων.

Μετάδος μοι δέσποτα τὸ τίμιον καὶ ἅγιον σῶμα τοῦ κυ καὶ θῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χῦ. Ὁ δὲ ἱερεὺς λέγει.

Μεταδίδωμί σοι τὸ τίμιον καὶ ἅγιον καὶ ἄχραντον σῶμα τοῦ κυρίου καὶ θῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ζωὴν αἰώνιον. Καὶ ἀπέρχεται ὄπισθεν τῆς ἱερᾶς τραπέζης κλίνας τὴν κεφαλὴν, καὶ προσεύχεται ὡς ὁ ἱερεύς. Ὁμοίως δὲ ὁ ἱερεὺς λαμβάνει

τὸν ἅγιον ἄρτον, κλίνας τὴν κεφαλὴν ἔμπροσθεν τῆς ἱερᾶς τραπέζης, καὶ εὔχεται οὕτως.

Πιστεύω κύριε καὶ ὁμολογῶ ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος ἐγώ εἰμι. Καὶ Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον υἱὲ θεοῦ κοινωνόν με παράλαβε. οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω. οὐ φίλημά σοι δώσω καθάπερ ἰούδας, ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι, μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου. Καὶ Κύριε οὐκ εἰμὶ ἄξιος, ἵνα ὑπὸ τὴν ῥυπαρὰν στέγην τῆς ψυχῆς μου εἰσέλθῃς, ἀλλ' ὡς κατεδέξω ἐν σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, καὶ ἐν τῇ οἰκίᾳ σίμωνος τοῦ λεπροῦ, καὶ τὴν ὁμοίαν μου πόρνην τὴν ἁμαρτωλὸν προσερχομένην σοι καταδεξάμενος, οὕτως καταξίωσον καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν τοῦ νεκροῦ καὶ λεπροῦ. Καὶ ὡς οὐκ ἐβδελύξω τὸ στόμα τὸ ῥυπαρὸν τῆς πόρνης καταφιλούσης τοὺς ἀχράντους σου πόδας, οὕτω δέσποτα θεέ μου μὴ βδελύξῃς καὶ ἐμὲ τὸν ἁμαρτωλόν. ἀλλ' ὡς ἀγαθὸς καὶ φιλάνθρωπος ἀξίωσόν με κοινωνὸν γενέσθαι τοῦ παναγίου σώματος καὶ αἵματός σου.

Ὁ θεὸς ἡμῶν ἄνες ἄφες συγχώρησόν μοι τὰ παραπτώματά μου, ὅσα σοι ἥμαρτον, εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ ἔπραξα. πάντα μοι συγχώρησον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. ταῖς πρεσβείαις τῆς παναχράντου σου καὶ ἀειπαρθένου μητρὸς ἀκατάκριτόν με διατήρησον δέξασθαι τὸ τίμιον καὶ ἄχραντον σῶμά σου, εἰς ἴασιν ψυχῆς καὶ σώματος. ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ οὕτω μεταλαμβάνουσι τὸν ἅγιον ἄρτον, ὁμοίως καὶ τὸ ἅγιον ποτήριον, καὶ μετα-

λαμβάνει πρότερον μὲν ὁ ἱερεὺς τρία ῥοφήματα ἐν μιᾷ ὑποκλίσει. καὶ ἐν μὲν τῷ πρώτῳ ῥοφήματι λέγει.
Εἰς τὸ ὄνομα τοῦ πρς. Ἐν δὲ τῷ δευτέρῳ, Καὶ τοῦ υἱοῦ.
Ἐν δὲ τῷ τρίτῳ, Καὶ τοῦ ἁγίου πνς. Καὶ μετὰ τὴν μετάληψιν ἀπομάσσει τῷ καλύμματι τὸ ἅγιον ποτήριον καὶ τὰ ἑαυτοῦ χείλη ἐπιδεξίως ἅμα καὶ εὐλαβῶς, λέγων.
Τοῦτο ἥψατο τῶν χειλέων μου, καὶ ἀφελεῖ τὰς ἀνομίας μου, καὶ τὰς ἁμαρτίας μου περικαθαριεῖ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Κρατῶν δὲ τὸ ἅγιον ποτήριον καλεῖ τὸν διάκονον, λέγων.
Διάκονε πρόσελθε. Καὶ ὁ διάκονος ἔρχεται καὶ προσκυνεῖ ἅπαξ, λέγων. Ἰδοὺ προσέρχομαι τῷ ἀθανάτῳ βασιλεῖ.
Καὶ τὸ Πιστεύω καὶ ὁμολογῶ ὅλον. Καὶ λέγει ὁ ἱερεύς.
Μεταλαμβάνεις ὁ δοῦλος τοῦ θεοῦ διάκονος ὁ δεῖνα, τὸ τίμιον καὶ ἅγιον σῶμα καὶ αἷμα τοῦ κῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χῦ, εἰς ἄφεσιν τῶν ἁμαρτιῶν σου, καὶ εἰς ζωὴν αἰώνιον. Μεταλαβόντος δὲ τοῦ διακόνου, λέγει ὁ ἱερεύς. Τοῦτο ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.
ὡς καὶ δι᾽ ἑαυτοῦ εἶπεν. Τότε λαβὼν τὸν ἅγιον δίσκον ὁ διάκονος, ἐπάνω τοῦ ἁγίου ποτηρίου ἀποσπογγίζει τῷ ἁγίῳ σπόγγῳ πάνυ καλῶς καὶ μετὰ προσοχῆς καὶ εὐλαβείας, καὶ σκεπάζει τὸ ἅγιον ποτήριον τῷ καλύμματι. ὁμοίως καὶ ἐπὶ τὸν ἅγιον δίσκον τίθησι τὸν ἀστέρα καὶ τὰ καλύμματα. Καὶ ἀνοίγουσι τὴν θύραν τοῦ ἁγίου βήματος. Καὶ ὁ διάκονος προσκυνήσας ἅπαξ, λαμβάνει τὸ ἅγιον ποτήριον μετὰ εὐλαβείας, καὶ ἔρχεται εἰς τὴν θύραν, καὶ ὑψῶν τὸ ἅγιον ποτήριον δείκνυσιν αὐτὸ τῷ λαῷ, λέγων. Μετὰ φόβου θῦ καὶ ἀγάπης προσέλθετε.
Ὁ χο. Ἀμήν. Ἀμήν. Ἀμήν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κῦ. Καὶ ὁ ἱερεὺς εὐλογεῖ τὸν λαόν, λέγων ἐκφώνως. Σῶσον ὁ θεὸς τὸν λαόν σου, καὶ

εὐλόγησον τὴν κληρονομίαν σου. Καὶ ὁ χορός. Εἰς πολλὰ τὰ ἔτη δέσποτα. Καὶ ἐπιστρέψουσιν ὅ, τε διάκονος καὶ ὁ ἱερεὺς εἰς τὴν ἁγίαν τράπεζαν, καὶ θυμιᾷ ὁ ἱερεὺς τρὶς, λέγων καθ᾽ ἑαυτόν. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εἶτα λαβὼν τὸν ἅγιον δίσκον, τίθησιν ἐπὶ τὴν κεφαλὴν τοῦ διακόνου. Καὶ ὁ διάκονος λαβὼν αὐτὸν μετὰ εὐλαβείας, θεωρῶν ἔξω πρὸς τὴν θύραν, οὐδὲν λέγων, ἀπέρχεται εἰς τὴν πρόθεσιν, καὶ ἀποτίθησιν αὐτόν. Ὁ δὲ ἱερεὺς προσκυνήσας, καὶ λαβὼν τὸ ἅγιον ποτήριον, καὶ ἐπιστραφεὶς πρὸς τὴν θύραν ὁρᾷ τὸν λαόν, λέγων. Πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Καὶ εὐθὺς λέγει μυστικῶς τὴν εὐχήν.

Εὐχαριστοῦμέν σοι δέσποτα φιλάνθρωπε εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων. ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν. στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας. φρούρησον ἡμῶν τὴν ζωήν. ἀσφάλισαι ἡμῶν τὰ διαβήματα. εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου. Ὁ διάκονος ἐν τῷ συνήθει τόπῳ στὰς λέγει. Ὀρθοὶ μεταλαβόντες τῶν θείων ἁγίων ἀχράντων ἀθανάτων ἐπουρανίων καὶ ζωοποιῶν μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ κυρίῳ. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ἀντιλαβοῦ σῶσον ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Τὴν ἡμέραν πᾶσαν τελείαν ἁγίαν εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα. Ὁ χο. Σοὶ κύριε. Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν

καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ δια. Ἐν εἰρήνῃ προέλθωμεν. Καὶ αὖθις. Τοῦ κυρίου δεηθῶμεν. Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη παρὰ τοῦ ἱερέως ἔξω τοῦ βήματος.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ, εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ παντὶ τῷ λαῷ σου, ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων, καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Καὶ ὁ χορὸς ψάλλει τρὶς τὸ Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Καὶ τὸν ψαλμόν. Εὐλογήσω τὸν κύριον. ἢ τοῦ ἁγίου τῆς ἡμέρας. Εὐχὴ ἐν τῷ συστεῖλαι τὰ ἅγια, μυστικῶς.

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων χριστὲ ὁ θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Μετὰ τὴν εὐχὴν ἐξέρχεται ὁ ἱερεὺς καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, δίδωσι τὸ ἀντίδωρον. Εἶτα ποιεῖ ἀπόλυσιν, λέγων. Δόξα σοι χριστὲ ὁ θεὸς ἡμῶν ἡ ἐλπὶς ἡμῶν δόξα σοι. Καὶ ὁ χο. Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ εἰ ἔστι κυριακή, λέγει ὁ ἱερεύς. Ὁ ἀναστὰς ἐκ νεκρῶν χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν.

Εἰ δὲ οὐκ ἔστιν ἀναστάσιμος, λέγει. Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρός, τῇ θείᾳ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου τῆς ἡμέρας. τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Καὶ εὐλογῶν τὸν λαὸν εἰσέρχεται. μετὰ δὲ τὴν ἀπόλυσιν, εἰ οὐκ ἔστι διάκονος, εἰσέρχεται ὁ ἱερεὺς εἰς τὴν πρόθεσιν, καὶ μεταλαμβάνει τὸ ὑπολειφθὲν ἐν τῷ ἁγίῳ ποτηρίῳ προσεχῶς καὶ εὐλαβῶς. καὶ ἀποπλύνει τὸ ἅγιον ποτήριον τρίς. καὶ ὁρᾷ μὴ μείνῃ τὸ λεγόμενον μαργαρίτης. τότε λέγει. Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα. ὅλον. Καὶ συστέλλει τὰ ἅγια, τὸ ποτήριον τὸν δίσκον μετὰ τῶν καλυμμάτων, κατὰ τὸ ἔθος. Εἰ δὲ ἐστὶ διάκονος, ὁ αὐτὸς ποιεῖ. Ὁ δὲ ἱερεὺς ἀπέρχεται ἐν τῷ σκευοφυλακίῳ, καὶ ἐκδύει ἑαυτόν. λέγων τρίς. Τὸ ἅγιος ὁ Θεός. Τὸ παναγία τριάς. Καὶ τὸ Πάτερ ἡμῶν. Τότε λέγει τὸ ἀπολυτίκιον τοῦ Χρυσοστόμου. Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν. ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο. τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξε. ἀλλὰ σοῖς λόγοις παιδεύων πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Μετέπειτα τὸ κοντάκιον.

Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν χειλέων πάντας ἐκδιδάσκεις προσκυνεῖν ἐν τριάδι τὸν ἕνα Θεὸν Ἰωάννη Χρυσόστομε παμμακάριστε ὅσιε, ἐπαξίως εὐφημοῦμέν σε. ὑπάρχεις γὰρ καθηγητής, ὡς τὰ θεῖα σαφῶν. Ἢ λέγει τῆς ἡμέρας. ἢ τὸ ἀναστάσιμον εἰ ἔστι κυριακή. Καὶ τὴν ἀπόλυσιν ὡς ἔθος μυστικῶς.

Τότε ἐξέρχεται εἰς τὰς θύρας τοῦ ἁγίου βήματος, ἐνδεδυμένος τὸ ἱμάτιον αὐτοῦ τὸ ἱερατικὸν, καὶ προσκυνεῖ, λέγων. Τὸ ὁ θεὸς ἱλάσθητί μοι. Καὶ ἐπιστρέφων πρὸς τὸν λαὸν, εὐλογεῖ λέγων ἐκφώνως. Φυλάξαι κύριος ὁ θεὸς πάντας ὑμᾶς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ δὲ λαὸς κλίνοντες τὰς κεφαλὰς πάντες, λέγουσι. Τὸ δι' εὐχῶν τῶν ἁγίων πατέρων. Καὶ ἀπέρχονται ἐν εἰρήνῃ σὺν τῷ ἁγίῳ.

Τέλος τῆς θείας ἱερουργίας
τοῦ Χρυσοστόμου.

S. MICHAEL'S CLERGY SCHOOL
ABERDARE

# Ἡ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΕΙΑ τοῦ ἐν ἁγίοις πατρὸς Βασιλείου τοῦ μεγάλου.

Σημείωσαι ὅτι αὕτη ἡ θεία λειτουργία τοῦ Μεγάλου Βασιλείου, οὐ λέγεται πάντοτε, ἀλλ' ἐν καιροῖς τεταγμένοις, ἤγουν ἐν ταῖς κυριακαῖς τῆς ἁγίας μεγάλης τεσσαρακοστῆς. πλὴν τῆς κυριακῆς τῶν βαΐων. ἐν τῇ ἁγίᾳ μεγάλῃ πέμπτῃ. ἐν τῷ μεγάλῳ σαββάτῳ. ἐν τῇ παραμονῇ τῆς Χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως, καὶ τῶν φώτων, καὶ ἐν τῇ ἡμέρᾳ τῇ ἑορτασίμῳ τοῦ ἁγίου Βασιλείου. καὶ τῇ τοῦ σταυροῦ, κατὰ τὸν τύπον τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας. Ἡ ἑρμηνεία καὶ ἡ διάταξις ταύτης τῆς ἱερουργίας ἡ αὐτή ἐστι τῇ τοῦ ἁγίου Χρυσοστόμου, ἔν τε ταῖς τοῦ ἱερέως καὶ τοῦ διακόνου εὐχαῖς τε καὶ θρησκείαις. πλὴν τινῶν, ἃ ἐν τοῖς ἑαυτῶν τόποις ἐσημειώθησαν. Εὐχὴ τῆς προθέσεως.

Ὁ Θεὸς ὁ θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων. Ἐκφώνως. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ



MICHAEL'S CLERGY SCHOOL ABERDARE

πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Τὰ αὐτὰ τῇ λειτουργίᾳ τοῦ Χρυσοστόμου λέγεται πάντα ὁμοίως παρά τε τοῦ ἱερέως καὶ τοῦ διακόνου. Ὁ ἱερεὺς ἐκφώνως.

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορ. Ἀμήν. Τὰ εἰρηνικὰ καὶ αἱ ἐκτενεῖς ὡς καὶ ἐν τῇ λειτουργίᾳ τοῦ Χρυσοστόμου. Ὁ διάκ. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου. Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλά. Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτά. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης. Ὑπὲρ εὐκρασίας ἀέρων. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς. Εὐχὴ ἀντιφώνου πρώτου μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος. αὐτὸς δέσποτα κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον. καὶ ποίησον μεθ᾽ ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Τοῦ ἱερέως λέγοντος τὴν εὐχὴν μυστικῶς ἐν τῷ βήματι, ἐν τῷ αὐτῷ καιρῷ ὁ διάκονος λέγει ἔξω τοῦ βήματος τὰ εἰρηνικά. εἰ δ᾽ οὐκ ἔστι διάκονος, ὁ ἱερεὺς μετὰ τὴν εὐχὴν, λέγει τὰ εἰρηνικά, καὶ μετὰ ταῦτα τὴν ἐκφώνησιν.

Ἔτι καὶ ἔτι τοῦ κυρίου. Ἀντιλαβοῦ σῶσον. Τῆς παναγίας ἀχράντου ὑπερ. Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν.

Μετὰ τὰ εἰρηνικὰ ὁ χορὸς μέλλει τὸ πρῶτον ἀντίφωνον, ἢ τὰ τυπικὰ εἰ ἔστι κυριακὴ, εἰ δ᾽ οὖν τῆς ἡμέρας.

Εὐχὴ ἀντιφώνου δευτέρου μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει. καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Σημείωσαι κἀνταῦθα ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ, εἰ ἔστι διάκονος, εἰ οὐκ ἔστι. Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ. Τῆς παναγίας ἀχράντου. Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Μετὰ τὰ δεύτερα εἰρηνικὰ μέλλει ὁ χορὸς τὸ δεύτερον ἀντίφωνον, ἢ τὰ τυπικὰ τὰ δεύτερα, εἰ ἔστι κυριακὴ, εἰ δ᾽ οὖν τῆς ἡμέρας.

Εὐχὴ ἀντιφώνου τρίτου μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχὰς, ὁ καὶ δύο ἢ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτὸς νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος. Κἀνταῦθα σημείωσαι ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ καὶ δευτέρᾳ εἰ ἔστι διάκονος εἰ οὐκ ἔστιν. Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ σῶ. Τῆς παναγίας ἀχράν. Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Κἀντεῦθεν τῇ τοῦ χρυσοστόμου λειτουργίᾳ ὁ χορὸς τὰ αὐτὰ ψάλλει. Ὅ,τε ἱερεὺς καὶ ὁ διάκονος ταῦτα καὶ λέγουσι καὶ ποιοῦσι.

Εὐχὴ τῆς εἰσόδου τοῦ ἁγίου εὐαγγελίου μυστικῶς.

Δέσποτα κύριε ὁ θεὸς ἡμῶν ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ἐκφώνως. Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Μετὰ τὴν εὐχὴν ὅ,τε ἱερεὺς καὶ ὁ διάκονος καὶ ὁ χορὸς ταῦτα καὶ ποιοῦσι καὶ λέγουσι τῇ τοῦ χρυσοστόμου ἱερουργίᾳ.

Εὐχὴ τοῦ τρισαγίου, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Ὁ Θεὸς ὁ ἅγιος ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας, ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν, ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν, αὐτὸς δέσποτα πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς

ἐν τῇ χρηστότητί σου. συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα. καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. πρεσβείαις τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ἐκφώνως.

Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν.

Ταύτης τῆς εὐχῆς τελεσθείσης, καὶ τοῦ χοροῦ ψάλλοντος, τὸ δόξα καὶ νῦν. ὅ, τε ἱερεὺς καὶ ὁ διάκονος ψάλλουσι τὸ τρισάγιον, καὶ τὰ λοιπὰ ποιοῦσιν, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ. Ὁ διά. Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς. Κύριε παντοκράτορ ὁ θεὸς τῶν. Ἔτι δεόμεθα ὑπὲρ τῶν δύ. Ὁ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος. Ἐκφώνως.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Τὰ αὐτὰ ὁ διάκονος καὶ ἐνταῦθα ὑπὲρ τῶν κατηχουμένων τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ λέγει.

Εὔξασθε οἱ κατηχούμενοι τῷ κυρίῳ. Οἱ πιστοὶ ὑπέρ.

Κατηχήσῃ αὐτοὺς τὸν. Ἀποκαλύψῃ αὐτοῖς.

Ἑνώσῃ αὐτούς. Σῶσον, ἐλέησον, ἀν.

Οἱ κατηχούμενοι τὰς κεφαλάς.

Εὐχὴ ὑπὲρ τῶν κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς. ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν ὁ ἐν οὐρανοῖς κατοικῶν καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα σου, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς κεκλικότας τοὺς ἑαυτῶν αὐχένας ἐνώπιόν σου, καὶ δὸς αὐτοῖς τὸν ἐλαφρὸν ζυγόν, ποίησον αὐτοὺς μέλη τῆς ἁγίας σου ἐκκλησίας, καὶ καταξίωσον αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, εἰς ἐπίγνωσιν σοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν. Ἐκφώνως ὁ ἱερεύς.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χο. Ἀμήν. Μετὰ τὴν ἐκφώνησιν ὁ ἱερεὺς ἐξαπλώνει τὸ εἰλητὸν κατὰ τὸ σύνηθες. Ὁ διάκονος.

Ὅσοι κατηχούμενοι προέλθετε, οἱ κατηχούμενοι προέλθετε, ὅσοι κατηχούμενοι προέλθετε, μή τις τῶν κατηχουμένων, ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ὁ χο. Κύριε ἐλέησον. Εὐχὴ πιστῶν πρώτη μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Σὺ κύριε κατέδειξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον, σὺ κατηξίωσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου θυσιαστηρίου, σὺ ἱκάνωσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος εἰς τὴν διακονίαν ταύτην, ἵνα ἀκατακρίτως στάντες ἐνώπιον τῆς ἁγίας δόξης σου, προσάγωμέν σοι θυσίαν αἰνέσεως, σὺ γάρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. δὸς κύριε καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, δεκτὴν γενέσθαι τὴν θυσίαν ἡμῶν, καὶ εὐπρόσδεκτον ἐνώπιόν σου. Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικά, ὡς ἔστι, ἔξω τοῦ ἁγίου βήματος.

Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ. Τῆς παναγίας ἀχράντου.

Ὁ δια. Σοφία. Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ

πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν.

Εὐχὴ πιστῶν δευτέρα, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Ὁ Θεὸς ὁ ἐπισκεψάμενος ἐν ἐλέει καὶ οἰκτιρμοῖς τὴν ταπείνωσιν ἡμῶν, ὁ στήσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου κατενώπιον τῆς ἁγίας δόξης σου λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, σὺ ἐνίσχυσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος εἰς τὴν διακονίαν ταύτην, καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, εἰς τὸ ἐπικαλεῖσθαι τὴν χάριν τοῦ ἁγίου πνεύματος ἐπὶ τῶν μελλόντων προτίθεσθαι δώρων. Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικὰ ἔξω τοῦ ἁγίου βήματος, ὡς καὶ πρότερον. μετὰ τὰ εἰρηνικὰ λέγει ἐκφώνως ὁ ἱερεύς.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν.

Τὰ αὐτὰ κἀνταῦθα καὶ λέγουσιν καὶ ποιοῦσιν, ὅ, τε ἱερεὺς καὶ ὁ διάκονος τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ. Εὐχὴ ἣν λέγει ὁ ἱερεὺς μυστικῶς, τοῦ χερουβικοῦ ᾀδομένου.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι βασιλεῦ τῆς δόξης. τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν, καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν, ἀλλ᾽ ὅμως διὰ τὴν ἄφατον καὶ ἄμετρόν σου φιλανθρωπίαν ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν ὡς δεσπότης τῶν ἁπάντων, σὺ γὰρ μόνος κύριε ὁ θεὸς ἡμῶν δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν σεραφὶμ κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον, ἐπίβλεψον ἐπ᾽ ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου,

καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς. καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ. καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα καὶ τίμιον αἷμα. σοὶ γὰρ προσέρχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα. καὶ δέομαί σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου. ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος, καὶ προσδεχόμενος καὶ διαδιδόμενος χριστὲ ὁ θεὸς ἡμῶν. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Καὶ ταῦτα ὁ ἱερεὺς καὶ ὁ διάκονος τὰ αὐτὰ καὶ ποιοῦσι καὶ λέγουσι τῇ τοῦ Χρυσοστόμου ἱερουργίᾳ. καὶ πληρωθέντων τῶν εὐχῶν καὶ τῶν θρησκειῶν, ὁ διάκονος ἔρχεται ἐν τῷ συνήθει τόπῳ λέγων.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ κυρίῳ.

Ὑπὲρ τῶν προτεθέντων τιμίων.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν. ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν ὁ κτίσας ἡμᾶς, καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν, σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ πνεύματός σου τοῦ ἁγίου. εὐδόκησον δή κύριε τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἁγίων σου μυστηρίων, πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους

σου. ἵνα

σου, ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον, καὶ νοερόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου πνεύματος. ἐπίβλεψον ἐφ᾽ ἡμᾶς ὁ θεός, καὶ ἔπιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς, ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου κύριε, ἵνα καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου θυσιαστηρίῳ, εὕρωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας. Ὁ διάκονος ὡς ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Ἀντιλαβοῦ σῶσον ἐλέησον.
Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν.
Ἄγγελον εἰρήνης πιστόν, ὁδηγόν.
Συγγνώμην καὶ ἄφεσιν τῶν.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν.
Τῆς παναγίας ἀχράντου. Ἐκφώνως ὁ ἱερεύς.

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ, μεθοῦ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χο. Ἀμήν. Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν. Ὁ διά.

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ χο. Πατέρα υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον. Ὁ ἱερεὺς προσκυνεῖ τρὶς λέγων μυστικῶς.

Ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου, κύριος στερέωμά μου καὶ κατα-
φυγή μου. Τρίς. Καὶ ὁ διάκονος ἀσπάζεται τὸ ὠράριον
αὐτοῦ, καὶ προσκυνεῖ τρίς, καὶ ἐπιφωνεῖ ἐκφώνως.
Τὰς θύρας τὰς θύρας ἐν σοφίᾳ πρόσχωμεν. Ὁ χορός.
Πιστεύω. Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ἁγίου
συμβόλου, λέγει ὁ διάκονος ἐκφώνως.
Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, πρόσχωμεν τὴν
ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν. Ὁ χορός.
Ἔλεον εἰρήνης θυσίαν αἰνέσεως. Ὁ ἱερεὺς ἐκφώνως.
Ἡ χάρις τοῦ κῦ ἡμῶν ἰῦ χῦ, καὶ ἡ ἀγάπη τοῦ θῦ καὶ
πρς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, εἴη μετὰ πάν-
των ὑμῶν. Ὁ χο. Καὶ μετὰ τοῦ πνς σου. Ὁ ἱερεύς.
Ἄνω σχῶμεν τὰς καρδίας. Ὁ χο. Ἔχομεν πρὸς
τὸν κν. Ὁ ἱερεύς. Εὐχαριστήσωμεν τῷ κυρίῳ.
Ὁ χο. Ἄξιον καὶ δίκαιόν ἐστι προσκυνεῖν πρα υἱὸν καὶ
ἅγιον πνα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.
Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Ὁ ὢν δέσποτα κύριε θὲ πάτερ παντοκράτορ προ-
σκυνητὲ ἄξιον ὡς ἀληθῶς καὶ δίκαιον καὶ πρέπον
τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, σὲ αἰνεῖν, σὲ ὑμνεῖν,
σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σοὶ εὐχαριστεῖν, σὲ δοξάζειν
τὸν μόνον ὄντως ὄντα θν, καὶ σοὶ προσφέρειν ἐν καρδίᾳ
συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως, τὴν λογικὴν
ταύτην λατρείαν ἡμῶν, ὅτι σὺ εἶ ὁ χαρισάμενος ἡμῖν
τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ τίς ἱκανὸς λαλῆσαι
τὰς δυναστείας σου, ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέσεις
σου, ἢ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου ἐν παντὶ και-
ρῷ, δέσποτα δέσποτα τῶν ἁπάντων, κύριε οὐρανοῦ καὶ
γῆς καὶ πάσης κτίσεως ὁρωμένης τε καὶ οὐχ ὁρωμένης, ὁ κα-
θήμενος ἐπὶ θρόνου δόξης, καὶ ἐπιβλέπων ἀβύσσους, ἄναρ-
χε, ἀόρατε, ἀκατάληπτε, ἀπερίγραπτε, ἀναλλοίωτε, ὁ
πατὴρ τοῦ κυρίου ἡμῶν ἰῦ χῦ, τοῦ μεγάλου θῦ καὶ σωτῆρος

τῆς ἐλπίδος ἡμῶν, ὅς ἐστιν εἰκὼν τῆς σῆς ἀγαθότητος, σφραγὶς ἰσότυπος ἐν ἑαυτῷ δεικνὺς σὲ τὸν πατέρα, λόγος ζῶν, θεὸς ἀληθινὸς, ἡ πρὸ αἰώνων σοφία, ζωὴ, ἁγιασμός, δύναμις, τὸ φῶς τὸ ἀληθινὸν, παρ' οὗ τὸ πνεῦμα τὸ ἅγιον ἐξεφάνη, τὸ τῆς ἀληθείας πνεῦμα, τὸ τῆς υἱοθεσίας χάρισμα, ὁ ἀρραβὼν τῆς μελλούσης κληρονομίας, ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν, ἡ ζωοποιὸς δύναμις, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, παρ' οὗ πᾶσα κτίσις λογική τε καὶ νοερὰ δυναμουμένη, σοὶ λατρεύει, καὶ σοὶ τὴν ἀΐδιον ἀναπέμπει δοξολογίαν, ὅτι τὰ σύμπαντα δοῦλα σὰ, σὲ γὰρ αἰνοῦσιν ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί, ἐξουσίαι, δυνάμεις, καὶ τὰ πολυόμματα χερουβίμ, σοὶ παρίστανται κύκλῳ τὰ σεραφίμ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί, καὶ ταῖς μὲν δυσὶ κατακαλύπτουσι τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶ πετόμενα, κέκραγεν ἕτερον πρὸς τὸ ἕτερον ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις. Ἐκφώνως ὁ ἱερεύς. Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα.

Ὁ χο. Ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαὼθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡς ἀννὰ ἐν τοῖς ὑψίστοις. εὐλογημένος ὁ ἐρχόμενος ὡς ἀννὰ ἐν τοῖς ὑψίστοις.

Κἀνταῦθα ὁ διάκονος τὰ αὐτὰ ποιεῖ τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ. Ἐπεύχεται μυστικῶς ὁ ἱερεύς.

Μετὰ τούτων τῶν μακαρίων δυνάμεων δέσποτα φιλάνθρωπε καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ βοῶμεν καὶ λέγομεν, ἅγιος εἶ ὡς ἀληθῶς καὶ πανάγιος, καὶ οὐκ ἔστι μέτρον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις σου, ὅτι ἐν δικαιοσύνῃ καὶ κρίσει ἀληθινῇ πάντα ἐπήγαγες ἡμῖν, πλάσας γὰρ τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ εἰκόνι τῇ σῇ ὁ θεὸς τιμήσας, τέθεικας αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἀθανασίαν ζωῆς καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου ἐπαγγει-

λάμενος αὐτῷ, ἀλλὰ παρακούσαντά σου τοῦ ἀληθινοῦ θεοῦ τοῦ κτίσαντος αὐτὸν, καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως ὑπαχθέντα, νεκρωθέντα τε τοῖς οἰκείοις αὐτοῦ παραπτώμασιν, ἐξώρισας αὐτὸν ἐν τῇ δικαιοκρισίᾳ σου ὁ θεὸς ἐκ τοῦ παραδείσου εἰς τὸν κόσμον τοῦτον, καὶ ἀπέστρεψας εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη, οἰκονομῶν αὐτῷ τὴν ἐκ παλιγγενεσίας σωτηρίαν, τὴν ἐν αὐτῷ τῷ χριστῷ σου, οὐ γὰρ ἀπεστράφης τὸ πλάσμα σου εἰς τέλος, ὃ ἐποίησας ἀγαθὲ, οὐδὲ ἐπελάθου ἔργου χειρῶν σου, ἀλλ᾽ ἐπεσκέψω πολυτρόπως διὰ σπλάγχνα ἐλέους σου. προφήτας ἐξαπέστειλας, ἐποίησας δυνάμεις διὰ τῶν ἁγίων σου τῶν καθ᾽ ἑκάστην γενεὰν εὐαρεστησάντων σοι. ἐλάλησας ἡμῖν διὰ στόματος τῶν δούλων σου τῶν προφητῶν. προκαταγγέλλων ἡμῖν τὴν μέλλουσαν ἔσεσθαι σωτηρίαν. νόμον ἔδωκας εἰς βοήθειαν, ἀγγέλους ἐπέστησας φύλακας. ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἐλάλησας ἡμῖν ἐν αὐτῷ τῷ υἱῷ σου, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησας, ὃς ὢν ἀπαύγασμα τῆς δόξης σου, καὶ χαρακτὴρ τῆς ὑποστάσεώς σου, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα σοὶ τῷ θεῷ καὶ πατρὶ, ἀλλὰ θεὸς ὢν προαιώνιος, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καὶ ἐκ παρθένου ἁγίας σαρκωθεὶς, ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν, σύμμορφος γενόμενος τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, ἵνα ἡμᾶς συμμόρφους ποιήσῃ τῆς εἰκόνος τῆς δόξης αὐτοῦ, ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, εὐδόκησεν ὁ μονογενής σου υἱὸς, ὁ ὢν ἐν τοῖς κόλποις σου τοῦ θεοῦ καὶ πατρὸς, γενόμενος ἐκ γυναικὸς τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, γενόμενος ὑπὸ νόμον, κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ, ἵνα οἱ ἐν τῷ Ἀδὰμ ἀποθνήσκοντες, ζωοποιηθῶσιν ἐν αὐτῷ τῷ χριστῷ σου, καὶ ἐμπολιτευσάμενος τῷ κόσμῳ τούτῳ, δοὺς προστάγματα σωτηρίας, ἀποστήσας

ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, προσήγαγε τῇ ἐπιγνώσει σου τοῦ ἀληθινοῦ θεοῦ καὶ πατρὸς, κτισάμενος ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, καὶ καθαρίσας ἐν ὕδατι, καὶ ἁγιάσας τῷ πνεύματι τῷ ἁγίῳ, ἔδωκεν ἑαυτὸν ἀντάλλαγμα τῷ θανάτῳ, ἐν ᾧ κατειχόμεθα πεπραγμένοι ὑπὸ τὴν ἁμαρτίαν, καὶ κατελθὼν διὰ τοῦ σταυροῦ εἰς τὸν ᾅδην, ἵνα πληρώσῃ ἑαυτοῦ τὰ πάντα, ἔλυσε τὰς ὠδῖνας τοῦ θανάτου, καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ὁδοποιήσας πάσῃ σαρκὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι ὑπὸ τῆς φθορᾶς τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐγένετο ἀπαρχὴ τῶν κεκοιμημένων, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα ᾖ αὐτὸς τὰ πάντα ἐν πᾶσι πρωτεύων. καὶ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς, ὃς καὶ ἥξει ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, κατέλιπε δὲ ἡμῖν ὑπομνήματα τοῦ σεπτοῦ αὐτοῦ πάθους, ταῦτα, ἃ προτεθείκαμεν κατὰ τὰς αὐτοῦ ἐντολὰς, μέλλων γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον καὶ ἀοίδιμον καὶ ζωοποιὸν αὐτοῦ θάνατον, τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ καὶ ἀχράντων χειρῶν, καὶ ἀναδείξας σοὶ τῷ θεῷ καὶ πατρὶ, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας. *Ὁ ἱερεὺς κλίνει τὴν κεφαλὴν, καὶ αἴρων τὴν δεξιὰν αὐτοῦ μετὰ εὐλαβείας, εὐλογεῖ τὸν ἅγιον ἄρτον, ἐκφώνως λέγων.*

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπὼν, λάβετε, φάγετε. τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. *Ὁ χορὸς ψάλλει.* Ἀμήν. *Ὅ, τε ἱερεὺς καὶ ὁ διάκονος τὰ αὐτὰ κἀνταῦθα τῇ τοῦ Χρυσοστόμου. Ὁ ἱερεὺς μυστικῶς.*

Ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβὼν, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας.

S. MICHAEL'S CLERGY SCHOOL
ABERDARE

*Ἐκφώνως ὁ ἱερεὺς τὴν χεῖρα καὶ ἄνωθεν μετὰ εὐλαβείας καὶ εὐλογῶν λέγει.*

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών, πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. *Ὁ χορὸς ψάλλει.* Ἀμήν. *Ὁ ἱερεὺς κλίνας τὴν κεφαλὴν ἐπεύχεται μυστικῶς.*

ΤΟῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν ἐμὸν θάνατον καταγγέλλετε, τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖτε. μεμνημένοι οὖν δέσποτα καὶ ἡμεῖς τῶν σωτηρίων αὐτοῦ παθημάτων, τοῦ ζωοποιοῦ σταυροῦ, τῆς τριημέρου ταφῆς, τῆς ἐκ νεκρῶν ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀνόδου, τῆς ἐκ δεξιῶν σου τοῦ θεοῦ καὶ πατρὸς καθέδρας, καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας. *Ἐκφώνως ὁ ἱερεύς.* Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες, κατὰ πάντα καὶ διὰ πάντα. *Ὁ χορὸς ψάλλει.* Τὸ Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν κύριε καὶ δεόμεθά σου ὁ θεὸς ἡμῶν. *Ὁ ἱερεὺς κλίνας τὴν κεφαλὴν εὔχεται μυστικῶς.*

ΔΙὰ τοῦτο δέσποτα πανάγιε καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν, οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐπὶ τῆς γῆς, ἀλλὰ διὰ τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, οὓς ἐξέχεας πλουσίως ἐφ᾿ ἡμᾶς, θαρροῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ χριστοῦ σου, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν ἅγιε ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ᾿ ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ εὐλογῆσαι αὐτά, καὶ ἁγιάσαι, καὶ ἀναδεῖξαι.

Ὁ διάκονος ἀποτίθησι τὸ ῥιπίδιον ὅπερ ἐκράτει ἢ κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τοῦ ἱερέως, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ εὐχόμενοι καθ᾽ ἑαυτοὺς τὸ Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, λέγουσι μυστικῶς τρίς.

Κύριε ὁ τὸ πανάγιον πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀντανέλῃς ἀφ᾽ ἡμῶν.

Καὶ τὸ Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Εἶτα τὴν κεφαλὴν ὑποκλίνας ὁ διάκονος, δείκνυσι τῷ ὡραρίῳ τὸν ἅγιον ἄρτον, καὶ λέγει μυστικῶς. Εὐλόγησον δέσποτα τὸν ἅγιον ἄρτον. Καὶ ὁ ἱερεὺς ἀνιστάμενος, σφραγίζει τρὶς τὰ ἅγια δῶρα, λέγων μυστικῶς. Τὸν μὲν ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον σῶμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὁ δια. Ἀμήν. Καὶ αὖθις ὁ διάκονος. Εὐλόγησον δέσποτα τὸ ἅγιον ποτήριον. Ὁ δὲ ἱερεὺς εὐλογῶν λέγει. Τὸ δὲ ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον αἷμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὁ διά. Ἀμήν. Ὁ ἱερεύς. Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Ὁ διά. Ἀμήν. Καὶ αὖθις ὁ διάκονος δεικνύων μετὰ ὡραρίου τὰ ἅγια ἀμφότερα λέγει. Εὐλόγησον δέσποτα. Ὁ δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς ἀμφότερα τὰ ἅγια λέγει. Μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ. Ὁ διά. Ἀμήν. τρίς. Καὶ τὴν κεφαλὴν ὁ διάκονος ὑποκλίνας τῷ ἱερεῖ, καὶ εἰπὼν τὸ Μνήσθητί μου ἅγιε δέσποτα τοῦ ἁμαρτωλοῦ, μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ ῥιπίδιον αὖθις ὡς πρότερον. Ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ἡμᾶς δὲ πάντας τοὺς ἐκ τοῦ ἑνὸς ἄρτου καὶ τοῦ ποτηρίου μετέχοντας, ἑνώσαι ἀλλήλοις εἰς ἑνὸς πνεύματος ἁγίου κοινωνίαν, καὶ μηδένα ἡμῶν εἰς κρίμα ἢ εἰς κατάκριμα, ποιῆσαι μεταχεῖν τοῦ ἁγίου σώματος καὶ αἵματος

τοῦ Χριστοῦ σου, ἀλλ' ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Διδασκάλων, καὶ παντὸς πνεύματος δικαίου, ἐν πίστει τετελειωμένου. Ἐκφώνως.

Ἐξαιρέτως τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ὁ χορὸς ψάλλει τὸ Ἐπὶ σοὶ χαίρει. Εἰ δὲ ἐστὶ ἡ μεγάλη πέμπτη, ψάλλει Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον υἱὲ θεοῦ κοινωνόν με παράλαβε, οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας, ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι, μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου. Εἰ δὲ ἐστὶ τὸ μέγα σάββατον ψάλλει.

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτοῖς λογιζέσθω, ὁ γὰρ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων, προέρχεται σφαγιασθῆναι τοῖς πιστοῖς. προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν ἀγγέλων μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας, τὰ πολυόμματα Χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ, τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον, Ἀλληλούια, ἀλληλούια, ἀλληλούια.

Ὁ διάκονος θυμιᾷ κυκλόθεν τὴν ἁγίαν τράπεζαν καὶ τὰ δίπτυχα, τῶν τε ζώντων καὶ κεκοιμημένων ὧν βούλεται, μνημονεύει. Ὁ δὲ ἱερεὺς εὔχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ. Τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων. Τοῦ ἁγίου τοῦ δεῖνος, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν. Καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεός, καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου. Εἶτα ὁ ἱερεὺς μνημονεύει, ὧν θέλει, ζώντων καὶ τεθνεώτων, καὶ ὑπὲρ μὲν

ζώντων

ζώντων λέγει. Ὑπὲρ σωτηρίας ἐπισκέψεως ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ θεοῦ ὁ δεῖνος. Ὑπὲρ τεθνεώτων λέγει. Ὑπὲρ ἀναπαύσεως καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου ὁ δεῖνος, ἐν τόπῳ φωτεινῷ, ἔνθα ἀπέδρα λύπη στεναγμὸς, ἀνάπαυσον αὐτοὺς ὁ θεὸς ἡμῶν.

Μυστικῶς τὴν εὐχήν.

Καὶ ἀνάπαυσον αὐτοὺς ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι σοῦ δεόμεθα, μνήσθητι κύριε τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, καὶ εἰρήνευσον αὐτήν, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου, καὶ τὸν ἅγιον οἶκον τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος. Μνήσθητι κύριε τῶν τὰ δῶρά σοι ταῦτα προσκομισάντων, καὶ ὑπὲρ ὧν, καὶ δι' ὧν, καὶ ἐφ' οἷς αὐτὰ προσεκόμισαν. Μνήσθητι κύριε τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων. ἄμειψαι αὐτοὺς τοῖς πλουσίοις σου καὶ ἐπουρανίοις χαρίσμασιν, χάρισαι αὐτοῖς ἀντὶ τῶν ἐπιγείων, τὰ ἐπουράνια, ἀντὶ τῶν προσκαίρων, τὰ αἰώνια. ἀντὶ τῶν φθαρτῶν, τὰ ἄφθαρτα. Μνήσθητι κύριε τῶν ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. Μνήσθητι κύριε τῶν ἐν παρθενίᾳ, καὶ εὐλαβείᾳ, καὶ ἀσκήσει, καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Μνήσθητι κύριε τῶν εὐσεβεστάτων καὶ πιστοτάτων ἡμῶν βασιλέων, οὓς ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς, ὅπλῳ ἀληθείας, ὅπλῳ εὐδοκίας στεφάνωσον αὐτούς, ἐπισκίασον ἐπὶ τὴν κεφαλὴν αὐτῶν, ἐν ἡμέρᾳ πολέμου ἐνίσχυσον αὐτῶν τὸν βραχίονα. ὕψωσον αὐτῶν τὴν δεξιάν, κράτυνον αὐτῶν τὴν βασιλείαν, ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη, τὰ τοὺς πολέμους θέλοντα. χάρισαι αὐτοῖς βαθεῖαν καὶ ἀναφαίρετον εἰρήνην, λάλησον εἰς τὴν καρδίαν αὐτῶν ἀγαθὰ ὑπὲρ τῆς ἐκκλησίας σου καὶ παντὸς τοῦ

λαοῦ σου, ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Μνήσθητι κύριε πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ τῶν ἐν παλατίῳ ἀδελφῶν ἡμῶν, καὶ παντὸς τοῦ στρατοπέδου, τοὺς ἀγαθοὺς ἐν τῇ ἀγαθότητι διατήρησον, τοὺς πονηροὺς, ἀγαθοὺς ποίησον ἐν τῇ χρηστότητί σου. Μνήσθητι κύριε τοῦ περιεστῶτος λαοῦ, καὶ τῶν δι᾽ εὐλόγους αἰτίας ἀπολειφθέντων, καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, τὰ ταμεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ, τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον, τὰ νήπια ἔκθρεψον, τὴν νεότητα παιδαγώγησον, τὸ γῆρας περικράτησον, τοὺς ὀλιγοψύχους παραμύθησαι, τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε, τοὺς πεπλανημένους ἐπανάγαγε, καὶ σύναψον τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, τοὺς ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων ἐλευθέρωσον, τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, χηρῶν πρόστηθι, ὀρφανῶν ὑπεράσπισον, αἰχμαλώτους ῥῦσαι, νοσοῦντας ἴασαι, τῶν ἐν βήματι καὶ μετάλλοις καὶ ἐξορίαις καὶ πάσῃ θλίψει καὶ ἀνάγκῃ καὶ περιστάσει ὄντων μνημόνευσον ὁ θεὸς, καὶ πάντων τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαγχνίας, καὶ τῶν ἀγαπώντων ἡμᾶς, καὶ τῶν μισούντων, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Καὶ παντὸς τοῦ λαοῦ σου μνήσθητι κύριε ὁ θεὸς ἡμῶν, καὶ ἐπὶ πάντας ἔκχεον τὸ πλούσιόν σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ὧν ἡμεῖς οὐκ ἐμνημονεύσαμεν δι᾽ ἄγνοιαν, ἢ λήθην, ἢ πλῆθος ὀνομάτων, αὐτὸς μνημόνευσον ὁ θεὸς, ὁ εἰδὼς ἑκάστου τὴν ἡλικίαν, καὶ τὴν προσηγορίαν, ὁ εἰδὼς ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ, σὺ γὰρ εἶ κύριε ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ὁ τῶν χειμαζομένων σωτὴρ, ὁ τῶν πλεόντων λιμὴν, ὁ τῶν νοσούντων ἰατρὸς, αὐτὸς τοῖς πᾶσι τὰ πάντα γενοῦ, ὁ εἰδὼς

ἕκαστον, καὶ τὸ αἴτημα αὐτοῦ, οἶκον καὶ τὴν χρείαν αὐτοῦ. ῥῦσαι κύριε τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρὸς, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου. Ὁ μὲν διάκονος ἐπιστρέφει πρὸς τὴν θύραν τοῦ ἁγίου βήματος κρατῶν τὸ ὀράριον ἄκροις τοῖς δακτύλοις καὶ λέγει. Καὶ πάντων καὶ πασῶν. Ὁ δὲ χορὸς ψάλλει Καὶ πάντων καὶ πασῶν. Ὁ δὲ ἱερεὺς ἐκφωνεῖ. Ἐν πρώτοις μνήσθητι κύριε τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦ δ. ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σῶον, ἔντιμον, ὑγιῆ, μακροημερεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας. Καὶ ὁ διάκονος λέγει πρὸς τῇ θύρᾳ στὰς, τοῦ ὁ δεῖνος πανιερωτάτου μητροπολίτου ἢ ἐπισκόπου, ὅστις ἂν ᾖ. Καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα ταῦτα εὐλαβεστάτου ἱερέως ὁ δεῖνος. Καὶ ὑπὲρ σωτηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν. Καὶ πάντων καὶ πασῶν. καὶ ὁ χορὸς ψάλλει. Καὶ πάντων καὶ πασῶν. Ὁ δὲ ἱερεὺς εὔχεται μυστικῶς.

Μνήσθητι κύριε πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι κύριε κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τῆς ἐμῆς ἀναξιότητος. συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ ἁγίου σου πνεύματος, ἀπὸ τῶν προκειμένων δώρων. Μνήσθητι κύριε τοῦ πρεσβυτερίου τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος, καὶ μηδένα ἡμῶν καταισχύνῃς, τῶν κυκλούντων τὸ ἅγιόν σου θυσιαστήριον, ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου κύριε, ἐπιφάνηθι ἡμῖν ἐν τοῖς πλουσίοις σου οἰκτιρμοῖς, εὐκράτους καὶ ἐπωφελεῖς τοὺς ἀέρας ἡμῖν χάρισαι, ὄμβρους τῇ γῇ πρὸς καρποφορίαν δώρησαι, εὐλόγησον τὸν στέφα-

νον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, παῦσον τὰ σχίσματα τῶν ἐκκλησιῶν, σβέσον τὰ φρυάγματα τῶν ἐθνῶν, τὰς τῶν αἱρέσεων ἐπαναστάσεις ταχέως κατάλυσον τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, πάντας ἡμᾶς πρόσδεξαι εἰς τὴν βασιλείαν σου, υἱοὺς φωτὸς καὶ υἱοὺς ἡμέρας ἀναδείξας, τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν κύριε ὁ θεὸς ἡμῶν, πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Ἐκφώνως ὁ ἱερεύς.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορὸς ψάλλει. Ἀμήν. Ὁ ἱερεὺς ἐπιστρέφεται πρὸς τὴν θύραν, καὶ εὐλογῶν λέγει ἐκφώνως. Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ μετὰ πάντων ὑμῶν.

Καὶ ὁ διάκονος ἐξερχόμενος ἔξωθεν, [illegible] ὁ ἱερεύς, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ λέγει. Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι τοῦ κυρίου δεηθῶμεν.

Ὁ χο. Κύριε ἐλέησον. καὶ τὰ λοιπὰ ὡς ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ. Ὑπὲρ τῶν προσκομισθέντων. Ὅπως ὁ φιλάνθρωπος θεὸς ἡμῶν. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς. Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ὁ θεὸς ἡμῶν, ὁ θεὸς τοῦ σώζειν, σὺ ἡμᾶς δίδαξον εὐχαριστεῖν σοι ἀξίως τῶν εὐεργεσιῶν σου, ὧν ἐποίησας καὶ ποιεῖς μεθ' ἡμῶν. σὺ ὁ θεὸς ἡμῶν, ὁ προσδεξάμενος τὰ δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δίδαξον ἁγιωσύνην ἐπιτελεῖν ἐν φόβῳ σου, ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ὑποδεχόμενοι τὴν μερίδα τῶν ἁγιασμάτων σου, ἑνωθῶμεν τῷ ἁγίῳ σώματι καὶ αἵματι τοῦ χριστοῦ σου, καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως, σχῶμεν τὸν χριστὸν κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν, καὶ γενώμεθα ναὸς τοῦ ἁγίου σου

πνεύματος. ναὶ ὁ θεὸς ἡμῶν, καὶ μηδ᾽ ἕνα ἡμῶν ἔνοχον ποιήσῃς τῶν φρικτῶν σου τούτων καὶ ἐπουρανίων μυστηρίων, μηδὲ ἀσθενῆ ψυχῇ καὶ σώματι, ἐκ τοῦ ἀναξίως τούτων μεταλαμβάνειν, ἀλλὰ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἀξίως ὑποδέχεσθαι τὴν ἐλπίδα τῶν ἁγιασμάτων σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ χριστοῦ σου, ὅπως ἂν καὶ ἡμεῖς μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων, γενώμεθα μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε κύριε. Ὁ διάκονος εἴπε τὰ εἰρηνικὰ ὡς ἐν τῇ τοῦ Χρυσοστόμου.

Ἀντιλαβοῦ σῶσον ἐλέησον, καὶ διαφύλαξον.

Τὴν ἡμέραν πᾶσαν τελείαν ἁγίαν εἰρηνικήν.

Ἄγγελον εἰρήνης πιστὸν, ὁδηγὸν, φύλακα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν.

Ἐκφώνως ὁ ἱερεύς.

Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ παρρησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον θεὸν πατέρα καὶ λέγειν. Ὁ χο. Τὸ Πάτερ ἡμῶν.

Ἐκφώνως ὁ ἱερεύς. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν. Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν. Ὁ χο.

Καὶ μετὰ τοῦ πνς σου. Ὁ διά. Τὰς κεφαλὰς ὑμῶν τῷ κῳ κλίνατε. Κλίνας γοῦν ὁ διάκονος μικρὸν τὴν κεφαλὴν [illegible] τὸν ἱερέα [illegible], [illegible]. Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Δέσποτα κύριε ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ θεὸς πάσης παρακλήσεως, τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς, εὐλόγησον, ἁγίασον, φρούρησον, ὀχύρωσον, ἐνδυνάμωσον, ἀπὸ παντὸς ἔργου πονηροῦ ἀπόστησον, παντὶ δὲ ἔργῳ ἀγαθῷ σύναψον, καὶ καταξίωσον ἀκατακρίτως μετέχειν τῶν ἀχράντων τούτων καὶ ζωοποιῶν μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς τὴν ἁγίου πνεύματος κοινωνίαν. Ἐκφώνως ὁ ἱερεύς.

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ ἱερεὺς εὔχεται μυστικῶς.

Πρόσχες κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών. καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου, καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ. Καὶ ἐνταῦθα, ὁ ἱερεὺς καὶ ὁ διάκονος τὰ αὐτὰ καὶ λέγουσι καὶ ποιοῦσι τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ. Ὁ διάκονος ἐκφωνεῖ.

Πρόσχωμεν. Καὶ ὁ ἱερεύς. Τὰ ἅγια τοῖς ἁγίοις.

Καὶ ὁ χορός. Εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός, Ἀμήν. Καὶ ἐνταῦθα, καὶ ὁ χορὸς τὸ αὐτὸ ψάλλει τῇ τοῦ Χρυσοστόμου ἱερουργίᾳ, καὶ ὁ ἱερεὺς καὶ ὁ διάκονος καὶ ἐν τῇ ἑνώσει, καὶ ἐν τῷ μελισμῷ, καὶ ἐν τῇ κοινωνίᾳ, καὶ ταῖς εὐχαῖς, καὶ [illegible] πάντα καὶ λέγουσι καὶ ποιοῦσι τῇ τοῦ Χρυσοστόμου. Ὁ ἱερεὺς εὔχεται μυστικῶς.

Εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων ἀχράντων καὶ ἐπουρανίων σου μυστηρίων, ἃ ἔδωκας ἡμῖν ἐπ' εὐεργεσίᾳ καὶ ἁγιασμῷ καὶ ἰάσει τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, αὐτὸς δέσποτα τῶν ἁπάντων, δὸς γενέσθαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς

πληρωμονὴν σοφίας, εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ χριστοῦ σου. Ὁ διάκονος ἐν τῷ συνήθει τόπῳ στὰς λέγει.

Ὀρθοὶ μεταλαβόντες τῶν θείων ἁγίων ἀχράντων ἀθανάτων ἐπουρανίων καὶ ζωοποιῶν μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ κυρίῳ. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διάκονος.

Ἀντιλαβοῦ σῶσον ἐλέησον, καὶ διαφύλαξον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν. Ὁ διάκονος. Ἐν εἰρήνῃ προέλθωμεν. Καὶ αὖθις. Τοῦ κυρίου δεηθῶμεν. Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη παρὰ τοῦ ἱερέως ἔξω τοῦ βήματος.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου, σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ, εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ παντὶ τῷ λαῷ σου, ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων, καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Ὁ χορὸς ψάλλει. Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Τρίς. Καὶ τὸν ψαλμόν. Εὐλογήσω τὸν κύριον. Ἡ τοῦ ἁγίου τῆς ἡμέρας. Εὐχὴ ἐν τῷ συστεῖλαι τὰ ἅγια μυστικῶς.

Ἤνυσται καὶ τετέλεσται, ὅσον εἰς τὴν ἡμετέραν δύναμιν χριστὲ ὁ θεὸς ἡμῶν, τὸ τῆς σῆς οἰκονομίας μυστήριον, ἔσχομεν γὰρ τοῦ θανάτου σου τὴν μνήμην, εἴδομεν τῆς ἀναστάσεώς σου τὸν τύπον, ἐνεπλήσθημεν τῆς ἀτελευτήτου σου ζωῆς, ἀπηλαύσαμεν τῆς ἀκενώτου σου τρυφῆς, ἧς καὶ ἐν τῷ μέλλοντι αἰῶνι πάντας ἡμᾶς καταξιωθῆναι εὐδόκησον, χάριτι τοῦ ἀνάρχου σου πατρὸς, καὶ τοῦ ἁγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὴν εὐχὴν ἐξέρχεται ὁ ἱερεὺς, καὶ δίδωσι τὸ ἀντίδωρον, καὶ λέγει καὶ τὰ λοιπὰ κἀνταῦθα ἅπερ καὶ ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Τέλος τῆς θείας ἱερουργίας
τοῦ Μεγάλου Βασιλείου.

# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
τῶν προηγιασμένων.

Αὕτη ἡ θεία λειτουργία λέγεται ἐν ταῖς τῆς τεσσαρακοστῆς νηστίμαις ἡμέραις μόνον, ὡς ἐν τῷ τυπικῷ ἔχει. ὁ ἱερεὺς καὶ ὁ διάκονος εἰσέρχονται, καὶ ἐνδύονται, τοιαύτας εὐχὰς λέγοντες, οἵας καὶ ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ. μετέπειτα λαμβάνουσι τὸ θυμιατήριον, καὶ θυμιῶσι τρὶς μετ' εὐλαβείας ἔνθα ὁ ἅγιος ἄρτος πεφυλαγμένος ἐστί, λέγοντες τό· Ὁ θεὸς ἱλάσθητί μοι. Τότε λαμβάνει ὁ ἱερεὺς τὸν ἅγιον ἄρτον μετὰ τῆς προσηκούσης εὐλαβείας καὶ ἐπιμελείας, καὶ τίθησιν αὐτὸν εἰς τὸν ἅγιον δίσκον ἐν τῇ προθέσει, λέγων τό· Πιστεύω κύριε καὶ ὁμολογῶ. Εἶτα θυμιῶν τὸν ἀστέρα, τίθησιν ἐπάνω, οὐδὲν λέγων, μετ' εὐλαβείας μόνον, ὁμοίως καὶ τὸ κάλυμμα, ἐν δὲ τῷ ἁγίῳ ποτηρίῳ ἐγχέει οἶνον καὶ ὕδωρ, ὅσον ἀρκεῖ, οὐδὲν λέγων, καὶ μετὰ τοῦ καλύμματος καλύπτει, ὡς ἔθος, σὺν τῷ ἀέρι εὐλαβῶς, καὶ ἔρχεται εἰς τὴν ἁγίαν τράπεζαν ποιῶν μετανοίας τρεῖς, λέγων τό· Ὁ θεὸς ἱλάσθητί μοι. καὶ ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον καὶ τὴν ἱερὰν τράπεζαν. Καὶ ὁ διάκονος λέγει. Εὐλόγησον δέσποτα. Καὶ ὁ ἱερεὺς ἐκφώνως

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Καὶ μετὰ τὸν προοιμιακὸν ψαλμὸν, λέγει τὰ εἰρηνικὰ ὁ διάκονος, ὁ δὲ ἱερεὺς ἢ εὔχεταί τι, ἢ ἐπιμελεῖται τὴν ἁγίαν πρόθεσιν. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν ὁ δεῖνος.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων.

Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι.

Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης.

Ὑπὲρ εὐκρασίας ἀέρων.

Ὑπὲρ πλεόντων ὁδοιπορούντων.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Ἀντιλαβοῦ σῶσον ἐλέησον καὶ διαφύλαξον.

Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χο. Ἀμήν. Εὐχὴ ἀντιφώνου πρώτου, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει. Ὁ δὲ χορὸς ἀναγινώσκει τοὺς ψαλμοὺς, τὸ Πρὸς κύριον ἐν τῷ θλίβεσθαί με, ἕως τὸ δόξα πατρί, ἤγουν τὴν πρώτην στάσιν.

Κύριε οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν. ποίησον μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθὸν, ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου, εὔφρανον τὰς καρδίας ἡμῶν, εἰς τὸ φοβεῖσθαι τὸ ὄνομα τὸ ἅγιόν σου, διότι μέγας εἶ καὶ ποιῶν θαυμάσια, σὺ εἶ ὁ θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς κύριε, δυνατὸς ἐν ἐλέει, καὶ ἀγαθὸς ἐν ἰσχύϊ, εἰς τὸ βοηθεῖν καὶ παρακαλεῖν καὶ σώζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ ὄνομα

τὸ ἅγιόν σου. Ἐκφώνως ὁ ἱερεὺς μετὰ τὸ, δόξα πρί.

Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ πρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνι, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Τότε ὁ χορὸς λέγει τὸ ἐπίλοιπον τοῦ καθίσματος, ἤγουν τὴν δευτέραν στάσιν. Εὐχὴ ἀντιφώνου δευτέρου, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειαν σου, ἰατρὲ καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν, ὁδηγῶν ἡμᾶς πρὸς λιμένα θελήματός σου, φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν, εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ δώρησαι ἡμῖν τὸ λοιπὸν τῆς παρούσης ἡμέρας εἰρηνικὸν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων σου. Ὁ διάκονος μετὰ τὴν πλήρωσιν τοῦ μέσου καθίσματος τοῦ δόξα πατρί, λέγει τὰ εἰρηνικά. μετὰ τὰ εἰρηνικὰ ἐκφωνεῖ ὁ ἱερεύς. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου. Ἀντιλαβοῦ σῶσον. Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης. Ἐκφώνως.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ πρς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνς, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν. Μετὰ τὴν ἐκφώνησιν ἄρχεται ὁ χορὸς τὸ τρίτον τοῦ καθίσματος. ὁ δὲ ἱερεὺς τὴν εὐχὴν τοῦ τρίτου ἀντιφώνου μυστικῶς λέγει.

Κύριε ὁ θεὸς ἡμῶν μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον καὶ προσκυνητὸν ὄνομά σου, καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου, ἀλλὰ χάρισαι ἡμῖν ὁ θεὸς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾶν καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας

ἡμῶν, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου. Πληρουμένης τῆς εὐχῆς, καὶ τοῦ καθίσματος πληρουμένου, ὁ διάκονος λέγει τὰ εἰρηνικά. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ.

Ἀντιλαβοῦ σῶσον. Τῆς παναγίας ἀχράντου.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χο. Ἀμήν. Καὶ μετὰ τὴν στιχολογίαν ὁ διάκονος τὰ εἰρηνικά. Ἔτι καὶ ἔτι ἐν. Ἀντιλαβοῦ σῶσον.

Τῆς παναγίας ἀχράντου. Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σὺ εἶ ὁ θεὸς ἡμῶν, θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χο. Ἀμήν. Τότε ὁ μὲν χορὸς ψάλλει τὸ Κύριε ἐκέκραξα. Ὁ δὲ ἱερεὺς ἢ ὁ διάκονος, θυμιᾷ πρῶτον μὲν τὴν πρόθεσιν, ἔνθα ὁ ἅγιος ἄρτος, ἔπειτα δὲ τὴν ἁγίαν τράπεζαν, καὶ ὅλον τὸ ἱερατεῖον καὶ τὸν ναὸν σὺν παντὶ τῷ λαῷ. μετὰ δὲ τὸ κύριε ἐκέκραξα, ψάλλει τὸ ἰδιόμελον τοῦ τελοδίου τῆς ἡμέρας, καὶ τὰ μαρτυρικὰ, καὶ τοῦ μηναίου. ἐν δὲ τῷ δόξα πατρὶ, ἐξέρχεται ὁ ἱερεὺς καὶ ὁ διάκονος μετὰ τοῦ θυμιάματος καὶ λαμπάδων, καὶ ποιοῦσι τὴν εἴσοδον ὡς ἔθος ἐστὶ, καὶ λέγει τὴν εὐχὴν ταύτην ὁ ἱερεὺς μυστικῶς.

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν, καὶ δεόμεθά σου δέσποτα τῶν ἁπάντων φιλάνθρωπε κε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν, ὅτι πρὸς σὲ κε κε οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ ἐπὶ σοὶ ἠλπίσαμεν, μὴ καταισχύνῃς ἡμᾶς ὁ θς ἡμῶν. Μετὰ τὴν εὐχὴν εὐλογεῖ

μετὰ τῆς χειρὸς ὁ ἱερεὺς καὶ λέγει.
Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε νῦν καὶ
ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἐκφώνως.
Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ πρὶ
καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Εἰσιόντος δὲ
τοῦ χοροῦ τὸ ἑσπερικὸν, λέγει ὁ διάκονος ἢ ὁ ἱερεὺς ἐκφώνως.
Σοφία ὀρθή. Καὶ ὁ ἀναγνώστης λέγει τὸ προκείμενον.
καὶ τὴν ῥῆσιν. Καὶ μετὰ τὴν πλήρωσιν ταύτην κρα-
τῶν ὁ ἱερεὺς τὴν λαμπάδα μετὰ τοῦ θυμιατηρίου ἐν τῇ
δεξιᾷ χειρὶ λέγει ἐκφώνως. Σοφία. Φῶς χυ φαί-
νει πᾶσιν. Καὶ ὁ ἀναγνώστης λέγει τὴν παροιμίαν.
καὶ μετὰ τὴν πλήρωσιν ταύτην ὁ ἱερεὺς ψάλλει τό· Κα-
τευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου,
ἔπαρσις τῶν χειρῶν μου, θυσίαν ἑσπερινὴν εἰσάκουσόν
μου κύριε. Καὶ ὁ χορὸς ψάλλει τὸ αὐτὸ κατευθυνθήτω.
Στίχος ὁ ἱερεύς. Κύριε ἐκέκραξα πρὸς σέ. Ὁ χο.
Κατευθυνθήτω. Στίχος ὁ ἱερεύς. Θοῦ κύριος φυ-
λακὴν τῷ στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χεί-
λη μου. Ὁ χο. Κατευθυνθήτω. Στίχος ὁ ἱερεύς.
Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας.
Ὁ χο. Κατευθυνθήτω. Καὶ αὖθις ὁ ἱερεύς.
Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν
σου. Ὁ χο. Ἔπαρσις τῶν χειρῶν μου, θυσίαν ἑσπε-
ρινὴν εἰσάκουσόν μου κε. Ὁ δια. Εἴπωμεν πάντες
ἐξ ὅλης τῆς ψυχῆς καὶ. Κύριε παντοκράτορ ὁ θς τῶν.
Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων.
Τὴν δέησιν ταύτην ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν τὴν ἐκτενῆ ταύτην ἱκεσίαν
πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ
τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατά-
πεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχό-

μενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος. Ἐκφώνως.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Καὶ ἐντεῦθεν ὁ διάκονος ὑπὲρ τῶν κατηχουμένων τὰ αὐτὰ λέγει τῇ τοῦ Χρυσοστόμου καὶ τοῦ Βασιλείου λειτουργίᾳ.

Εὔξασθε οἱ κατηχούμενοι τῷ κυρίῳ.

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων.

Κατηχήσῃ αὐτοῖς τὸν λόγον.

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον.

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ.

Σῶσον ἐλέησον ἀντιλαβοῦ, καί.

Οἱ κατηχούμενοι τὰς κεφαλάς.

Εὐχὴ ὑπὲρ τῶν κατηχουμένων μυστικῶς.

Ὁ Θεὸς ὁ θεὸς ἡμῶν, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, ὁ πάντας θέλων σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, καὶ λύτρωσαι αὐτοὺς τῆς παλαιᾶς πλάνης, καὶ τῆς μεθοδείας τοῦ ἀντικειμένου, καὶ προσκάλεσαι αὐτοὺς εἰς τὴν ζωὴν τὴν αἰώνιον, φωτίζων αὐτῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ συγκαταριθμῶν αὐτοὺς τῇ λογικῇ σου ποίμνῃ, ἐφ' ἣν τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται. Ἐκφώνως ὁ ἱερεύς.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Ἐνταῦθα ἐξαπλώνει ὁ ἱερεὺς τὸ εἰλητόν, ὡς καὶ ἐν τῇ τοῦ Χρυσοστόμου καὶ Βασιλείου λειτουργίᾳ. Ὁ διάκονος.

Ὅσοι κατηχούμενοι προέλθετε, οἱ κατηχούμενοι προέλθετε, ὅσοι κατηχούμενοι προέλθετε, μή τις τῶν κατηχουμένων, ὅσοι πιστοί, ἔτι καὶ ἔτι τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός.

Κύριε ἐλέησον. Ταῦτα μόνα λέγονται μέχρι καὶ τῆς

τρίτης καὶ τῆς τετάρτης ἑβδομάδος, ἀπὸ δὲ τῆς δ΄ τῆς μεσονηστίμου, μετὰ τὸ εἰπεῖν τὸ ἵνα καὶ αὐτοὶ, λέγονται καὶ ταῦτα τὰ διακονικὰ, ἤγουν τὰ εἰρηνικά.

Ὅσοι κατηχούμενοι προέλθετε, οἱ κατηχούμενοι προέλθετε, ὅσοι πρὸς τὸ φώτισμα προέλθετε, εὔξασθε οἱ πρὸς τὸ φώτισμα. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Οἱ πιστοὶ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων ἀδελφῶν, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὅπως κύριος ὁ θεὸς ἡμῶν στηρίξῃ αὐτοὺς καὶ ἐνδυναμώσῃ, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Φωτίσῃ αὐτοὺς φωτισμῷ γνώσεως καὶ εὐσεβείας, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Καταξιώσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ἀναγεννήσῃ αὐτοὺς δι᾽ ὕδατος καὶ πνεύματος, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Χαρίσαιτο αὐτοῖς τὴν τελειότητα τῆς πίστεως, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Συγκαταριθμήσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καὶ ἐκλεκτῇ ποίμνῃ, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Σῶσον ἐλέησον ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτοὺς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Οἱ πρὸς τὸ φώτισμα, τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνατε. Ὁ χο. Σοὶ κύριε.

Εὐχὴ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον βάπτισμα εὐτρεπιζομένων, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Ἐπίφανον δέσποτα τὸ πρόσωπόν σου, ἐπὶ τοὺς πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένους, καὶ ἐπιποθοῦντας τὸν τῆς ἁμαρτίας μολυσμὸν ἀποτινάξασθαι, καταύγασον αὐτοὺς ἐν τῇ πίστει, στήριξον ἐν ἐλπίδι, τελείωσον ἐν ἀγάπῃ, μέλη τίμια τοῦ χριστοῦ σου ἀνάδειξον, τοῦ δόντος ἑαυτὸν ἀντίλυτρον ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ διά.

Ὅσοι πρὸς τὸ φώτισμα προέλθετε, οἱ πρὸς τὸ φώτισμα προέλθετε, ὅσοι κατηχούμενοι προέλθετε. μή τις τῶν κατηχουμένων, ὅσοι πιστοὶ, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυ δεηθῶμεν. Ὁ χο. Κε ἐλέησον. Ἕως ὧδε τὰ ἀπὸ τῆς τετάρτης τῆς μεσονηστίμου. Εὐχὴ πιστῶν πρώτη μυστικῶς.

Ὁ θεὸς ὁ μέγας καὶ αἰνετὸς, ὁ τῷ ζωοποιῷ τοῦ χυ σου θανάτῳ εἰς ἀφθαρσίαν ἡμᾶς ἐκ φθορᾶς μεταστήσας, σὺ πάσας ἡμῶν τὰς αἰσθήσεις τῆς ἐμπαθοῦς νεκρώσεως ἐλευθέρωσον, ἀγαθὸν ταύταις ἡγεμόνα τὸν ἔνδοθεν λογισμὸν ἐπιστήσας. καὶ ὀφθαλμὸς μὲν ἀπέστω παντὸς πονηροῦ βλέμματος. ἀκοὴ δὲ λόγοις ἀργοῖς ἀνεπίβατος, ἡ δὲ γλῶσσα καθαρευέτω ῥημάτων ἀπρεπῶν. ἅγνισον ἡμῶν τὰ χείλη τὰ αἰνοῦντά σε κε, τὰς χεῖρας ἡμῶν ποίησον, τῶν μὲν φαύλων ἀπέχεσθαι πράξεων, ἐνεργεῖν δὲ μόνα τὰ σοὶ εὐάρεστα, πάντα ἡμῶν τὰ μέλη καὶ τὴν διάνοιαν τῇ σῇ κατασφαλιζόμενος χάριτι. Ὁ διάκονος τὰ εἰρηνικὰ, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου καὶ βασιλείου λειτουργίᾳ.

Ἀντιλαβοῦ σῶσον ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν ἁγίαν.

Ἄγγελον εἰρήνης πιστὸν ὁδηγόν.

Συγγνώμην καὶ ἄφεσιν τῶν.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν.

Τῆς παναγίας ἀχράντου.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ πρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Εὐχὴ πιστῶν δευτέρα μυστικῶς.

Δέσποτα

Δέσποτα ἅγιε, ὑπεράγαθε, δυσωποῦμέν σε τὸν ἐν ἐλέει πλούσιον, ἵλεων γενέσθαι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἀξίους ἡμᾶς ποίησον τῆς ὑποδοχῆς τοῦ μονογενοῦς σου υἱοῦ καὶ θεοῦ ἡμῶν, τοῦ βασιλέως τῆς δόξης. ἰδοὺ γὰρ τὸ ἄχραντον αὐτοῦ σῶμα, καὶ τὸ ζωοποιὸν αἷμα, κατὰ τὴν παροῦσαν ὥραν εἰσπορευόμενα, τῇ μυστικῇ ταύτῃ προτίθεσθαι μέλλει τραπέζῃ, ὑπὸ πλήθους στρατιᾶς οὐρανίου ἀοράτως δορυφορούμενα. ὧν τὴν μετάληψιν ἀκατάκριτον ἡμῖν δώρησαι, ἵνα δι' αὐτῶν τὸ τῆς διανοίας ὄμμα καταυγαζόμενοι, υἱοὶ φωτὸς καὶ ἡμέρας γενώμεθα. Τὰ εἰρηνικὰ ὁ διάκονος, ὡς καὶ ἐν τοῖς ἄλλοις. Ἀντιλαβοῦ σῶσον. Σοφία. Ἐκφώνως ὁ ἱερεύς.

Κατὰ τὴν δωρεὰν τοῦ χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ μὲν χορὸς ψάλλει τὸ Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν σὺν ἡμῖν ἀοράτως λατρεύουσιν, ἰδοὺ γὰρ εἰσπορεύεται ὁ βασιλεὺς τῆς δόξης. Ἀλληλούια γ. Ὁ δὲ ἱερεὺς θυμιᾷ τὰ ἅγια. καὶ ἀσπάζεται τὸν ἀέρα προσκυνῶν, καὶ λέγει. Ὡς ὁ ἄσωτος υἱὸς ἦλθον κἀγὼ οἰκτίρμον. Καὶ λαμβάνει τὰ θεῖα, ὡς ἔθος, μετὰ εὐλαβείας, καὶ ἐξέρχεται, προπορευομένων λαμπάδων, καὶ λέγει. Μνησθείη πάντων ἡμῶν κύριος ὁ θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ εὐθὺς εἰσέρχεται εἰς τὴν ἁγίαν τράπεζαν, καὶ ἀποτίθησι τὰ ἅγια, προσκυνῶν καὶ θυμιῶν μετὰ πάσης εὐλαβείας. Πληρουμένου δὲ τοῦ εἰρημένου ὕμνου ὑπὸ τοῦ χοροῦ, ἄρχεται ὁ διάκονος.

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ κυρίῳ. Ὁ χο. Κύριε ἐλέησον. Ὁ δια. Ὑπὲρ τῶν προτεθέντων καὶ προαγιασθέντων τιμίων δώρων, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ δια. Ὅπως ὁ φιλάνθρωπος θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ

ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου πνεύματος, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Μυστικῶς ὁ ἱερεύς.

Ὁ τῶν ἀρρήτων καὶ ἀθεάτων μυστηρίων θεὸς, παρ' ᾧ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι, ὁ τὴν διακονίαν τῆς λειτουργίας ταύτης ἀποκαλύψας ἡμῖν, καὶ θέμενος ἡμᾶς τοὺς ἁμαρτωλοὺς διὰ τὴν πολλήν σου φιλανθρωπίαν, εἰς τὸ προσφέρειν σοι δῶρα καὶ θυσίας ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, αὐτὸς ἀόρατε βασιλεῦ, ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμὸς, ἔπιδε ἐφ' ἡμᾶς τοὺς ἀναξίους δούλους σου, τοὺς τῷ ἁγίῳ τούτῳ θυσιαστηρίῳ, ὡς τῷ χερουβικῷ σου παρισταμένους θρόνῳ, ἐφ' ᾧ ὁ μονογενής σου υἱὸς καὶ θεὸς ἡμῶν διὰ τῶν προκειμένων φρικτῶν ἐπαναπαύεται μυστηρίων, καὶ πάσης ἡμᾶς καὶ τὸν πιστόν σου λαὸν ἐλευθερώσας ἀκαθαρσίας, ἁγίασον πάντων ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, ἁγιασμῷ ἀναφαιρέτῳ, ἵνα ἐν καθαρῷ συνειδότι, ἀνεπαισχύντῳ προσώπῳ, πεφωτισμένῃ καρδίᾳ, τῶν θείων τούτων μεταλαμβάνοντες ἁγιασμάτων, καὶ ὑπ' αὐτῶν ζωοποιούμενοι, ἑνωθῶμεν αὐτῷ τῷ χριστῷ τῷ ἀληθινῷ θεῷ ἡμῶν, τῷ εἰπόντι, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ· ὅπως ἐνοικοῦντος ἐν ἡμῖν καὶ ἐμπεριπατοῦντος τοῦ λόγου σου κύριε, γενώμεθα ναὸς τοῦ παναγίου καὶ προσκυνητοῦ σου πνεύματος, λελυτρωμένοι πάσης διαβολικῆς μεθοδείας, ἐν πράξει ἢ λόγῳ, ἢ κατὰ διάνοιαν ἐνεργουμένης, καὶ τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, σὺν πᾶσι τοῖς ἁγίοις σου, τοῖς ἀπ' αἰῶνος σοι εὐαρεστήσασιν.

S. MICHAEL'S CLERGY SCHOOL ABERDARE

Ὁ διάκονος τὰ εἰρηνικά.
Ἀντιλαβοῦ σῶσον ἐλέησον.
Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν εἰρηνικήν.
Ἄγγελον εἰρήνης πιστὸν ὁδηγόν.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν.
Τὰ καλὰ καὶ συμφέροντα.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ὑμῶν.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς.
Τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοιν. Ἐκφώνως ὁ ἱερεύς.
Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ παρρησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον θεὸν πατέρα, καὶ λέγειν, Ὁ χο. Πάτερ ἡμῶν. Ἐκφώνως ὁ ἱερεύς.
Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν. Ὁ χο.
Καὶ μετὰ τοῦ πνεύματός σου. Ὁ διά. Τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε. Ὁ χο. Σοὶ κύριε. Κλίνας γοῦν ὁ διάκονος μικρὸν τὴν κεφαλήν, καὶ ὁρῶν τὸν ἱερέα προσκυνοῦντα, προσκυνεῖ καὶ αὐτός. Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Ὁ Θεὸς ὁ μόνος ἀγαθὸς καὶ εὔσπλαγχνος, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ἔπιδε εὐσπλάγχνῳ ὄμματι ἐπὶ πάντα τὸν λαόν σου, καὶ φύλαξον αὐτόν, καὶ ἀξίωσον πάντας ἡμᾶς, ἀκατακρίτως μετασχεῖν τῶν ζωοποιῶν σου τούτων μυστηρίων, σοὶ γὰρ τὰς ἑαυτῶν ὑπεκλίναμεν κεφαλάς, ἀπεκδεχόμενοι τὸ παρὰ σοῦ πλούσιον ἔλεος.
Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ Ἐκφώνως ὁ ἱερεύς. τοῦ μονογενοῦς σου υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Πρόσχες κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν

ἀοράτως συνὼν, καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου, καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ. Μετὰ τὴν εὐχὴν ὅ, τε ἱερεὺς καὶ ὁ διάκονος προσκυνοῦσι τρὶς, ὁμοίως καὶ πᾶς ὁ λαὸς, λέγοντες, Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ τρίς. Ὁ δὲ ἱερεὺς ἐπικεκαλυμμένων ὄντων τῶν θείων δώρων, βαλὼν τὴν χεῖρα, ἅπτεται τοῦ ζωοποιοῦ ἄρτου μετὰ εὐλαβείας καὶ φόβου πολλοῦ. Καὶ λέγοντος τοῦ διακόνου, Πρόσχωμεν. Ἐκφωνεῖ ὁ ἱερεὺς. Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις. Ὁ χορ. Εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρὸς, Ἀμήν. οὐ γὰρ ὑψοῖ ἀρτίως τὸν ἄρτον; εἶτα ἀνακαλύψας αὐτὸν, ἐκπληροῖ τὴν μετάληψιν τῶν θείων λειψάνων. Καὶ ποιοῦσι καὶ λέγουσιν ὅ, τε ἱερεὺς καὶ ὁ διάκονος καὶ ὁ χορὸς τὰ αὐτὰ τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ. Ἐπεύχεται ὁ ἱερεὺς μυστικῶς.

Εὐχαριστοῦμέν σοι τῷ σωτῆρι τῶν ὅλων θεῷ, ἐπὶ πᾶσιν οἷς παρέσχου ἡμῖν ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, καὶ δεόμεθά σου δέσποτα φιλάνθρωπε, φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου, καὶ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς φωτισμὸν ψυχῆς καὶ σώματος, εἰς βασιλείας οὐρανῶν κληρονομίαν. Ὁ διά. Ὀρθοὶ μεταλαβόντες τῶν θείων ἁγίων ἀχράντων. Ἀντιλαβοῦ σῶσον ἐλέησον. Τὴν ἑσπέραν πᾶσαν τελείαν ἁγίαν. Ἐκφώνως ὁ ἱερεύς. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορ. Ἀμήν. Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη παρὰ τοῦ ἱερέως ἔξω τοῦ βήματος.

Δέσποτα παντοκράτορ, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διὰ τὴν ἄφατόν σου πρόνοιαν, καὶ πολλὴν ἀγαθότητα, ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους

ἡμέρας ταύτας, πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων, πρὸς ἐγκράτειαν παθῶν, πρὸς ἐλπίδα ἀναστάσεως, ὁ διὰ τεσσαράκοντα ἡμερῶν πλάκας χειρίσας τὰ θεοχάρακτα γράμματα τῷ θεράποντί σου Μωσεῖ, παράσχου καὶ ἡμῖν ἀγαθὲ τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι, τὸν δρόμον τῆς νηστείας ἐκτελέσαι, τὴν πίστιν ἀδιαίρετον τηρῆσαι, τὰς κεφαλὰς τῶν ἀοράτων δρακόντων συνθλάσαι, νικητάς τε τῆς ἁμαρτίας ἀναφανῆναι, καὶ ἀκατακρίτως φθάσαι προσκυνῆσαι καὶ τὴν ἁγίαν ἀνάστασιν, ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν.

Καὶ ἐνταῦθα ὁ χορὸς ψάλλει τὰ αὐτὰ τῇ τοῦ Χρυσοστόμου καὶ Βασιλείου λειτουργίᾳ. Εὐχὴ ἐν τῷ συστεῖλαι τὰ ἅγια μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν ὁ ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας, καὶ κοινωνοὺς ἡμᾶς ποιήσας τῶν φρικτῶν σου μυστηρίων, σύναψον τῇ λογικῇ σου ποίμνῃ, καὶ κληρονόμους ἀνάδειξον τῆς βασιλείας σου, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ χορὸς λέγει τοὺς ψαλμούς, τὸ Εὐλογήσω τὸν κύριον, καὶ τὸ Ὑψώσω σε κύριε ὁ θεός μου. Ὁ δὲ ἱερεὺς ἐξέρχεται, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, δίδωσι τὸ ἀντίδωρον, εἶτα ποιεῖ ἀπόλυσιν, καὶ τὰ αὐτὰ καὶ λέγει καὶ ποιεῖ ὡς καὶ ἐν τῇ τοῦ Χρυσοστόμου καὶ Βασιλείου λειτουργίᾳ.

Τέλος τῆς θείας λειτουργίας
τῶν προηγιασμένων.

Ἐις κοιμηθέντας. Προκείμειον. ἦχος. πλ. δ'.

Ἀι ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Στίχος. Πρὸς σὲ κύριε κεκράξομαι ὁ θεός μου.

Πρὸς Θεσσαλονικεῖς ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοὶ οὐ θέλω μὲν ἡμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα, εἰ γὰρ πιστεύομεν ὅτι ἰς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ ἰυ ἄξει σὺν αὐτῷ, τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι θῦ, καταβήσεται ἀπ' οὐνοῦ, καὶ οἱ νεκροὶ ἐν χῶ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυ εἰς ἀέρα. καὶ οὕτω πάντοτε σὺν κῳ ἐσόμεθα. Ἀλληλούια.

Στίχος. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου κε.

Ἐις κοιμηθέντας, Ευαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους, ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς, οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον, οὗτός ἐστιν ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ. ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ἐμάχοντο οὖν οἱ Ἰουδαῖοι πρὸς ἀλλήλους, λέγοντες, πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν. εἶπεν οὖν αὐτοῖς ὁ ἰς, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ

υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Εἰς Ὁσίους. Προκείμενον ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος.

Στίχος. Εἰσάκουσον κύριε δικαιοσύνης μου.

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοὶ πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε. αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες, ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. προσεύχεσθαι περὶ ὑμῶν. πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι. περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. ὁ δὲ θεὸς τῆς εἰρήνης ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν, ἐν αἵματι διαθήκης αἰωνίου, τὸν κύριον ἡμῶν ἰησοῦν χριστὸν, καταρτίσαι ἡμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ διὰ ἰησοῦ χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούια. ἦχος. δ'.

Στίχος. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Εἰς Ὁσίους Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς, εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν. καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς. καὶ στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

Εἰς ἱεράρχας. Προκείμενον. ἦχος. β. Τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

Στίχος. Τί ἀνταποδώσομεν τῷ κυρίῳ περὶ πάντων.

Πρὸς Κορινθίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοὶ τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος. ὃς οὐκ ἔχει καθ᾽ ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ ἀγνοημάτων, τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας, ὁ νόμος γὰρ ἀνθρώπους καθίστησι ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος. Ἀλληλούια.

ἦχος. β. Οἱ ἱερεῖς σου κύριε ἐνδύσονται δικαιοσύνην.

Εἰς ἱεράρχας Εὐαγγέλιον τὸ κατὰ Ἰωάννην.

Εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς, ἐγώ εἰμι ἡ θύρα, δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ καὶ ἀπολέσῃ. ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει, καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα, ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ

γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων, καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσιν. καὶ γενήσεται μία ποίμνη εἷς ποιμήν.

Εἰς τὰς ἑορτὰς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Προκείμενον. ἦχος. γ. Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον.

Στίχος. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν.

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό, τε ἅγιον κοσμικόν, σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ, τε λυχνία καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἅγια. μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης, περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ, ἡ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. ὑπεράνω δὲ αὐτῆς, χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον. περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς ἐπιτελοῦντες τὰς λατρείας. εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

Ἀλληλούια. ἦχος. πλ. δ. Ἄκουσον θύγατερ καὶ ἴδε καὶ κλῖνε τὸ οὖς σου.

Εἰς τὰς ἑορτὰς τῆς ὑπεραγίας. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἐν τῷ καιρῷ ἐκείνῳ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά, γυνὴ δέ τις ὀνόματι Μάρθα, ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ, ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν δια-

κονίαν, ἐπιστᾶσα δὲ εἶπεν, κύριε οὐ μέλει σοι, ὅτι ἡ ἀδελφή μου μόνην με ἐγκατέλιπε διακονεῖν. εἰπὲ οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται. ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰς, Μάρθα Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά, ἑνὸς δέ ἐστι χρεία. Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ, μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοί, οὓς ἐθήλασας. αὐτὸς δὲ εἶπεν, μὲν οὖν γε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

Εἰς Μάρτυρας. Προκείμενον. ἦχος. δ΄.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμα.

Στίχος. Προωρώμην τὸν κύριον ἐνώπιόν μου διαπαντός.

Πρὸς Ἐφεσίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί ἐνδυναμοῦσθε ἐν κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ, ἐνδύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, ὅτι οὐκ ἔστιν ὑμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι στῆναι. στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε, πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθαι, καὶ τὴν μάχαιραν τοῦ πνς, ὅ ἐστι ῥῆμα θεοῦ. Ἀλληλούια. ἦχος. β΄. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Στ. Ὑπομένων ὑπέμεινα τὸν κύριον.

Εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς, ταῦτα ἐντέλλομαι, ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους. εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε, ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει. ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστὲ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. μνημονεύετε τοῦ λόγου μου, οὗ ἐγὼ εἶπον ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, ὑμᾶς διώξουσιν. εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με, εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον, νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ. εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον, νῦν δὲ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου, ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι ἐμίσησάν με δωρεάν.

## ΤΗ ΚΥΡΙΑΚΗ ΕΙΣ ΤΗΝ ΛΕΙτουργίαν, οἱ μακαρισμοί. ἦχος πρῶτος.

Διὰ βρώσεως ἐξήγαγε, τοῦ παραδείσου ὁ ἐχθρὸς τὸν Ἀδάμ, διὰ σταυροῦ δὲ τὸν λῃστὴν, ἀντεισήγαγε Χριστὸς ἐν αὐτῷ. μνήσθητί μου κράζοντα, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Ἐσταυρώθης ἀναμάρτητε, καὶ ἐν μνημείῳ κατετέθης ἑκών, ἀλλ' ἐξανέστης ὡς θεὸς, συνεγείρας τοὺς προπάτορας, μνήσθητί μου κράζοντας, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Προσκυνῶ σου τὰ παθήματα, δοξολογῶ καὶ τὴν ἀνάστασιν, σὺν τῷ Ἀδὰμ καὶ τῷ λῃστῇ, μετὰ φωνῆς ἀναβοῶ σοι λαμπρᾶς, μνήσθητί μου κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Τὸν ναὸν σῶτερ τοῦ σώματος, τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσας ταφῇ, σὺν τῷ Ἀδὰμ τοὺς ἐξ Ἀδὰμ, συνανέστησας χριστὲ ὁ θεὸς, μνήσθητι μου κράζοντας, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μυροφόροι ἦλθον κλαίουσαι τὸ μνῆμά σου χριστὲ ὁ θεὸς, λίαν πρωῒ καὶ ἐν λευκοῖς, εὗρον ἄγγελον καθήμενον, τί ζητεῖτε λέγοντα, ἐξανέστη χριστὸς, μὴ θρηνεῖτε λοιπόν.

Οἱ ἀπόστολοί σου κύριε, τὸ ὄρος οὗ ἐτάξω αὐτοῖς παραγενόμενοι σῶτερ, σὲ ἰδόντες προσεκύνησαν, οὓς καὶ ἐξαπέστειλας εἰς τὰ ἔθνη, βαπτίζειν διδάξας αὐτούς. Τριαδικόν.

Τὸν πατέρα προσκυνήσωμεν, καὶ τὸν υἱὸν δοξολογήσωμεν, καὶ τὸ πανάγιον ὁμοίως πνεῦμα πάντες ἀνυμνήσωμεν, κράζοντες καὶ λέγοντες, παναγία τριὰς σῶσον πάντας ἡμᾶς. Θεοτοκίον.

Τὴν μητέρα σου προσάγει σοι, εἰς ἱκεσίαν ὁ λαός σου χριστὲ, ταῖς παρακλήσεσιν αὐτῆς, τοὺς οἰκτιρμούς σου ἡμῖν δώρησαι, ἵνα σὲ δοξάζωμεν τὸν ἐκ τάφου ἡμῖν ἀνατείλαντα.

## ΤΗ ΚΥΡΙΑΚΗ ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΟΙ ΜΑΚΑΡΙΣΜΟΙ. ἦχος πρῶτος.

Μνήσθητι εὔσπλαγχνε καὶ ἡμῶν, ὥσπερ ἐμνημόνευσας τοῦ λῃστοῦ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ἀδὰμ ᾐχμαλώτευσας τῷ σταυρῷ, ζωὴν ἐδωρήσω δὲ τοῖς θνητοῖς, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν.

Ξύλον πρὶν ἐξῆγαγε τὸν Ἀδὰμ, σταυρὸς ἀντεισήγαγε τὸν λῃστὴν, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Τάφος ὑπεδέξατό σε χριστὲ, τὸν τάφους κενώσαντα, καὶ νεκροῖς ζωὴν δωρησάμενον ὡς θεόν.

Ἀνέστης τριήμερος ἐκ νεκρῶν, καὶ ὤφθης τοῖς ἕνδεκα μαθηταῖς, σῶτερ ἐν τῷ ὄρει τῶν ἐλαιῶν.

Ἀπόστολοι ἔνδοξοι τοῦ χριστοῦ, ἄφεσιν αἰτήσασθε τοῖς πιστοῖς, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν. Τριαδικόν.

Πατέρα δοξάσωμεν καὶ υἱὸν, καὶ πνεῦμα τὸ ἅγιον οἱ πιστοὶ, τρισὶν ἐν προσώποις ἕνα θεόν. Θεοτοκίον.

Πάντες μακαρίζομεν σὲ ἁγνὴ, ἀσπόρως γὰρ ἔτεκες ἐν σαρκὶ, θεὸν βασιλέα τῶν οὐρανῶν.

## ΤΗ͂ ΚΥΡΙΑΚΗ͂ ΕἸΣ ΤῊΝ ΛΕΙΤΟΥΡΓΊΑΝ, ΟἹ ΜΑΚΑΡΙΣΜΟΊ. ἦχος γ'.

Ἀθετήσαντα χε, τὴν ἐντολήν σου τὸν προπάτορα Ἀδὰμ, τοῦ παραδείσου ἐξώρισας, τὸν δὲ λῃστὴν οἰκτίρμον ὁμολογήσαντά σε ἐν σταυρῷ, ἐν αὐτῷ εἰσῴκισας κράζοντα, μνήσθητί μου σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Ἐν τῷ ὄρει μωϋσῆς, χεῖρας ἁπλώσας προετύπου τὸν σταυρὸν, τὸν ἀμαλὴκ τροπωσάμενος, ἡμεῖς δὲ οἱ πιστοὶ τοῦτον, κατὰ δαιμόνων ὅπλον κραταιὸν, εἰληφότες πίστει κραυγάζομεν, μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου.

Ἀναστὰς ἐκ τῶν νεκρῶν, συνεξανέστησας ἡμᾶς ἐκ τῶν παθῶν, τῇ ἀναστάσει σου κύριε, τοῦ δὲ θανάτου πᾶσαν τὴν δυναστείαν ὤλεσας χριστὲ, διὰ τοῦτο πίστει κραυγάζομεν, μνήσθητι καὶ ἡμῶν, ἐν τῇ βασιλείᾳ σου.

Ἁμαρτήσαντας ἡμᾶς, τῇ τοῦ θανάτου κατεδίκασας ἀρᾷ, ὁ ζωοδότης θς ἡμῶν, ἐν δὲ τῷ σώματί σου, ἀναμαρτήτως κύριε παθὼν, τοὺς θνητοὺς ἐζώωσας κράζοντας, μνήσθητι καὶ ἡμῶν, ἐν τῇ βασιλείᾳ σου.

Στάμνον τοῦ πνεύματος χρυσῆν, τὸ μάννα ἔχουσαν τοὺς λόγους σου χε, τοὺς ἀποστόλους ἀνέδειξας, καὶ δι' αὐτῶν ἐκτρέφεις, τῷ οὐρανίῳ ἄρτῳ ἀληθῶς, τὸν λαόν σου πίστει βοῶντά σοι, μνήσθητί μου σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Σὺν τῷ σταυρῷ τὴν ταφὴν καὶ τὴν ἁγίαν σου ἀνάστασιν σωτὴρ, προσκυνοῦντες δοξάζομεν, τὸν δι' ἡμᾶς βουλήσει, πάντα παθεῖν θελήσαντα θεὸν ἐν σαρκὶ, καὶ κόσμον ῥυσάμενον, δουλείας τοῦ πονηροῦ, καὶ τῆς τοῦ ᾅδου φθορᾶς.

Ταῖς μυροφόροις γυναιξὶ, πρώτως ἐφάνης ἀναστὰς ἐκ τῶν νεκρῶν σωτὴρ, βοήσας τὸ χαίρετε, καὶ δι' αὐτῶν τοῖς φίλοις, τὴν σὴν μηνύσας ἔγερσιν χε, διὰ τοῦτο πίστει κραυγάζομεν, μνήσθητι καὶ ἡμῶν, ἐν τῇ βασιλείᾳ σου. Θεοτοκίον.

Χαῖρε ἡ πύλη τοῦ θυ, δι' ἧς διῆλθε σαρκωθεὶς ὁ πλαστουργὸς, ἐσφραγισμένην φυλάξας σε. χαῖρε νεφέλη κούφη, τὸν

ὄμβρον φέρουσα χριστόν, χαῖρε κλίμαξ καὶ πύλη οὐράνιος, χαῖρε ὄρος θεοῦ, ὄντως ἀλατόμητον.

## ΤΗ͂ ΚΥΡΙΑΚΗ͂ ΕἸΣ ΤῊΝ ΛΕΙτουργίαν, οἱ μακαρισμοί. ἦχος τέταρτος.

Διὰ ξύλου ὁ Ἀδάμ, παραδείσου γέγονεν ἄποικος, διὰ ξύλου τοῦ σταυροῦ, ὁ λῃστὴς παράδεισον ᾤκησεν, ὁ μὲν γὰρ γευσάμενος, ἐντολὴν ἠθέτησε τοῦ ποιήσαντος, ὁ δὲ συσταυρούμενος, θεὸν ὡμολόγησε σὲ κρυπτόμενον, μνήσθητί μου βοῶν, ἐν τῇ βασιλείᾳ σου.

Ὑψωθεὶς ἐν τῷ σταυρῷ, καὶ τοῦ θανάτου λύσας τὴν δύναμιν, καὶ ἐξαλείψας ἀληθῶς, τὸ καθ' ἡμῶν χειρόγραφον δέσποτα, λῃστοῦ τὴν μετάνοιαν, καὶ ἡμῖν παράσχου μόνε φιλάνθρωπε, τοῖς πίστει βοῶσί σοι, χριστὲ πολυέλεε ὁ θεὸς ἡμῶν, μνήσθητι καὶ ἡμῶν, ἐν τῇ βασιλείᾳ σου.

Τὸν ἀναστάντα ἐκ νεκρῶν, καὶ τὸ τοῦ ᾅδου κράτος σκυλεύσαντα, καὶ ὀφθέντα γυναιξί, μυροφόροις λέγοντα χαίρετε, πιστοὶ δυσωπήσωμεν, ἐκ φθορᾶς λυτρώσασθαι τὰς ψυχὰς ἡμῶν, κραυγάζοντες πάντοτε, λῃστοῦ τοῦ εὐγνώμονος τὴν φωνὴν πρὸς αὐτόν, μνήσθητι καὶ ἡμῶν, ἐν τῇ βασιλείᾳ σου.

Τὸν σταυρὸν τὸν τοῦ χριστοῦ, ἐν διανοίᾳ πάντες κατέχοντες, τὰς τοῦ βίου ἡδονάς, ἀπονεκρῶσαι πάντες σπουδάσωμεν, ναὸν τὰς ψυχὰς ἡμῶν, τοῦ παναγίου πνεύματος καταρτίζοντες, φωνὴν ἀναπέμποντες, λῃστοῦ τοῦ εὐγνώμονος τῷ δεσπότῃ χριστῷ, μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου.

Ἐπὶ τὸ μνῆμά σου χριστέ, αἱ μυροφόροι ἦλθον μυρίσαι σε, καὶ μὴ εὑροῦσαι ἀγαθέ, τὸ ζωηφόρον ἄχραντον σῶμά σου, ἠπόρουν ἐν δάκρυσιν, ὀδυρόμεναι ἤγλε καὶ ζητοῦσαί σε, εὑροῦσαι δὲ δέσποτα, σὲ τὸν ποθούμενον ἀνεβόων σοι, μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου.

Δι' ἡμᾶς ὁ ἀπαθής, παθητὸς ἐγένου ὡς ἄνθρωπος, ἑκουσίως δὲ ἐν σταυρῷ, προσηλωθείς, ἡμᾶς συνανέστησας, διὸ προσκυνοῦμέν σου, σὺν τῷ σταυρῷ τὸ πάθος καὶ τὴν

ἀνάστασιν, δι᾽ ὧν ἀνεπλάσθημεν, δι᾽ ὧν καὶ σωζόμενοι ἀνακράζομεν, μνήσθητι καὶ ἡμῶν, ἐν τῇ βασιλείᾳ σου.

Τριαδικόν.

Τὸν πατέρα καὶ υἱόν, καὶ τὸ πνεῦμα πάντες τὸ ἅγιον, ὁμοφρόνως οἱ πιστοί, δοξολογεῖν ἀξίως εὐξώμεθα, μονάδα θεότητος, ἐν τρισὶν ὑπάρχουσαν ὑποστάσεσιν, ἀσύγχυτον μένουσαν, ἁπλῆν ἀδιαίρετον καὶ ἀπρόσιτον, δι᾽ ἧς λυτρούμεθα, τοῦ πυρὸς τῆς κολάσεως.

Θεοτοκίον.

Τὴν μητέρα σου χριστέ, τὴν ἐν σαρκὶ ἀσπόρως τεκοῦσάν σε, καὶ παρθένον ἀληθῶς, καὶ μετὰ τόκον μείνασαν ἄφθορον, αὐτήν σοι προσάγομεν εἰς πρεσβείαν δέσποτα πολυέλεε, πταισμάτων συγχώρησιν, δωρήσασθαι ἅπασι τοῖς βοῶσιν αὐτῇ, χαίροις οὖν ἀληθῶς θησαυρὲ τῆς ζωῆς.

## ΤΗ͂ ΚΥΡΙΑΚΗ͂ ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ οἱ μακαρισμοί, ἦχος πλαγίου, α΄.

Ὁ λῃστὴς ἐν τῷ σταυρῷ, θεὸν εἶναί σε πιστεύσας χριστέ, ὡμολόγησέ σε εἰλικρινῶς ἐκ καρδίας, μνήσθητί μου βοῶν, ἐν τῇ βασιλείᾳ σου.

Τὸν ἐν ξύλῳ τοῦ σταυροῦ, ζωὴν ἀνθήσαντα τῷ γένει ἡμῶν, καὶ ξηράναντα τὴν ἐκ τοῦ ξύλου κατάραν, ὡς σωτῆρα καὶ δημιουργόν, συμφώνως ὑμνήσωμεν.

Τῷ θανάτῳ σου χριστέ, θανάτου ἔλυσας τὴν δύναμιν, καὶ συνήγειρας τοὺς ἀπ᾽ αἰῶνος θανέντας, σὲ ὑμνοῦντας τὸν ἀληθινὸν θεὸν καὶ σωτῆρα ἡμῶν.

Ἐπὶ τὸ μνῆμά σου χριστέ, παραγενόμεναι γυναῖκες σεμναί, ἐπεζήτουν σε τὸν ζωοδότην μυρίσαι, ὤφθη δ᾽ αὐταῖς ἄγγελος βοῶν, ἀνέστη ὁ κύριος.

Σταυρουμένου σου χριστέ, ἐν μέσῳ δύο καταδίκων λῃστῶν, ὁ μὲν εἷς βλασφημήσας, κατεκρίθη δικαίως, ὁ δὲ ἄλλος σε ὁμολογῶν, παράδεισον ᾤκησε.

Πάσαν ἐπλήρωσε τὴν γῆν, τῶν ἀποστόλων σου ὁ φθόγγος χριστέ, καὶ ἐμείωσε τῆς ἀθείας τὴν νύκτα, καταυγάσας πᾶσι τοῖς πιστοῖς, τὸ φῶς τὸ τῆς γνώσεως.

Τῶν ἀποστόλων τὸν χορὸν, εὐαγγελίζονται γυναῖκες σεμναὶ ἐκβοῶσαι, ὁ χριστὸς ἀνέστη ὡς δεσπότης καὶ δημιουργὸς αὐτὸν προσκυνήσωμεν. Τριαδικόν.

Τριὰς ἀμέριστε μονὰς, ἡ παντουργὸς καὶ παντοδύναμος, ὁ πατὴρ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα, σὺ θεός μου καὶ φῶς καὶ σὲ ἀνυμνῶν προσκυνῶ. Θεοτοκίον.

Οἱ κληρωσάμενοι χαρὰν ἐν τῇ κυήσει σου πανάχραντε, χαιρετίζομέν σε σὺν τῷ ἀγγέλῳ βοῶντες, χαῖρε μήτηρ τοῦ ἐμμανουήλ, θεοῦ καὶ σωτῆρος ἡμῶν.

## ΤΗ ΚΥΡΙΑΚΗ ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ οἱ μακαρισμοί. ἦχος πλαγίου β.

Μνήσθητί μου, ὁ θεὸς ὁ σωτήρ μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, καὶ σῶσόν με ὡς μόνος φιλάνθρωπος

Διὰ ξύλου τὸν Ἀδὰμ ἀπατηθέντα, διὰ ξύλου σταυροῦ, πάλιν ἔσωσας λῃστὴν βοῶντα, μνήσθητί μου σωτὴρ ἐν τῇ βασιλείᾳ σου.

Ἅδου πύλας καὶ μοχλοὺς συνθλάσας χριστὲ, ἀνέστησας ἅπαντας σωτὴρ βοῶντας, δόξα τῇ ἐγέρσει σου.

Μνήσθητί μου, ὁ τὸν ᾅδην σκυλεύσας τῇ ταφῇ σου, καὶ τῇ ἀναστάσει σου, χαρᾶς τὰ πάντα πληρώσας ὡς εὔσπλαγχνος.

Μυροφόροι ἐν τῷ μνήματι ἐλθοῦσαι, τοῦ ἀγγέλου κραυγάζοντος ἤκουον, χριστὸς ἀνέστη, φωτίσας τὰ σύμπαντα.

Τὸν ἐν ξύλῳ τοῦ σταυροῦ προσηλωθέντα, καὶ τὸν κόσμον ἐκ πλάνης ῥυσάμενον, συμφώνως πάντες χριστὸν ἀνυμνήσωμεν. Τριαδικόν.

Τὸν πατέρα καὶ υἱὸν δοξολογοῦμεν, καὶ τὸ πνεῦμα τὸ ἅγιον λέγοντες, τριὰς ἁγία σῶσον τὰς ψυχὰς ἡμῶν. Θεοτοκίον.

Ἡ ἀρρήτως ἐπ' ἐσχάτων συλλαβοῦσα, καὶ τεκοῦσα τὸν κτίστην τὸν ἴδιον, παρθένε σῶζε τοὺς σὲ μεγαλύνοντας.

τουργίαν οἱ μακαρισμοί. ἦχος βαρύς.

Ὡραῖος ἦν καὶ καλὸς εἰς βρῶσιν, ὁ ἐμὲ θανατώσας καρπός, χριστός ἐστι τὸ ξύλον τὸ τῆς ζωῆς, ἐξ οὗ φαγὼν οὐ θνήσκω, ἀλλ' ἐκβοῶ σὺν τῷ λῃστῇ, μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου.

Ἐν τῷ σταυρῷ ὑψωθεὶς οἰκτίρμον, τοῦ Ἀδὰμ τὸ χειρόγραφον, τῆς πάλαι ἁμαρτίας ἐξήλειψας, καὶ ἔσωσας ἐκ πλάνης ἅπαν τὸ γένος τῶν βροτῶν, ὅθεν ἀνυμνοῦμέν σε, εὐεργέτα κύριε.

Προσηλώσας ἐν σταυρῷ οἰκτίρμον, τὰς ἡμῶν ἁμαρτίας σωτήρ, καὶ διὰ τοῦ θανάτου, τὸν θάνατον ἐνέκρωσας, ἐγείρας τοὺς πεθνεῶτας ἐκ νεκρῶν, ὅθεν προσκυνοῦμέν σου τὴν ἔνδοξον ἀνάστασιν.

Ἐξέχεε τὸν ἰὸν ὁ ὄφις, ἀκοαῖς ταῖς τῆς Εὔας ποτέ. χριστὸς δὲ ἐν τῷ ξύλῳ τοῦ σταυροῦ, ἐπήγασε τῷ κόσμῳ τῆς ζωῆς τὸν γλυκασμόν, μνήσθητί μου κράζοντι, ἐν τῇ βασιλείᾳ σου.

Ἐν μνήματι ὡς θνητὸς ἐτέθης, ἡ ζωὴ τῶν ἁπάντων χριστέ, καὶ πύλας τοῦ θανάτου συνέτριψας, ἐξαναστὰς τοῦ ᾅδου τριήμερος ὡς δυνατὸς, καὶ πάντας ἐφώτισας, σὲ ὑμνοῦντας δόξα σοι.

Συνήγειρας ἐν τῇ σῇ ἐγέρσει τὸν Ἀδὰμ ζωοδότα χριστέ, τὴν πάλαι ἀφθαρσίαν δωρούμενος, τὴν ἐν τῷ παραδείσῳ, διὸ βοᾷ σὺν τῷ λῃστῇ, μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου. Τριαδικόν.

Φῶς ὁ πατὴρ, φῶς ὁ υἱὸς ὁ λόγος, φῶς τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' ἓν φῶς τὰ τρία, εἷς γὰρ θεὸς ἐν τρισὶ μὲν προσώποις, μία δὲ φύσις καὶ ἀρχὴ, ἄτμητος, ἀσύγχυτος, μένων προαιώνιος. Θεοτοκίον.

Ἐκύησας τὸν υἱὸν καὶ λόγον, τοῦ πατρὸς ἐν σαρκὶ ἐπὶ γῆς, ὡς οἶδε θεοτόκε αὐτὸς, διὸ παρθενομῆτορ οἱ θεωθέντες διὰ σοῦ, χαῖρέ σοι κραυγάζομεν, τῶν χριστιανῶν ἡ ἐλπίς.

Μνήσθητι ἡμῶν, χριστὲ σωτὴρ τοῦ κόσμου, ὥσπερ τοῦ λῃστοῦ ἐμνήσθης ἐπὶ ξύλου, καὶ καταξίωσον πάντας μόνε οἰκτίρμον, τῆς οὐρανίου βασιλείας σου.

Ξύλῳ ἐμπαγεὶς, σωτὴρ ἡμῶν βουλήσει, ξύλου τὸν Ἀδὰμ, κατάρας ἐλυτρώσω, ἀποδιδοὺς ὡς οἰκτίρμων τὸ κατ' εἰκόνα, καὶ παραδείσου τὴν κατοίκησιν.

Ἄκουε Ἀδὰμ, καὶ χαῖρε σὺν τῇ Εὔᾳ, ὅτι ὁ γυμνώσας πρὶν τοὺς ἀμφοτέρους, καὶ δι' ἀπάτης λαβὼν ὑμᾶς αἰχμαλώτους, ἐν τῷ σταυρῷ χριστοῦ κατήργηται.

Ξύλῳ ὁ Ἀδὰμ, ὠλίσθησε τὸ πρῶτον, ξύλῳ ὁ λῃστὴς, τὸ δεύτερον ἐσώθη, καὶ τῆς ἀρχαίας διαίτης τοῦ παραδείσου, ἀπολαμβάνει τὸ ἀξίωμα.

Ἄπιτε σπουδῇ, ὁ ἄγγελος ταῖς θείαις, ἔφη γυναιξὶ, ταῖς κήρυξι τοῦ λόγου, εὐαγγελίσασθε τούτοις ὅτι ἀνέστη χριστὸς, ἡ πάντων ἐξανάστασις.

Ὡς ἐν οὐρανῷ, τὰ πλήθη τῶν ἀγγέλων, οὕτως ἐπὶ γῆς, τὸ γένος τῶν ἀνθρώπων, τὴν παναγίαν ἀνάστασιν ἑορτάζει, τῆς ἀγαθότητός σου κύριε.

Τριαδικόν.

Ἄναρχε τριὰς, ἀμέριστε οὐσία, σύνθρονε μονὰς, ὁμότιμε τῇ φύσει, ἡ ὑπεράρχιος δόξα καὶ βασιλεία, σῶζε τοὺς πίστει ἀνυμνοῦντάς σε.

Θεοτοκίον.

Χαῖρε τοῦ θεοῦ, εὐρύχωρον χωρίον, χαῖρε κιβωτὲ, τῆς νέας διαθήκης, χαῖρε ἡ στάμνος ἐξ ἧς τὸ μάννα, ἐδόθη πᾶσι βροτοῖς τὸ ἐπουράνιον.

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Γερμανοῦ Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ἱστορία ἐκκλησιαστικὴ καὶ μυστικὴ θεωρία.

Ἐκκλησία ἐστὶ ναὸς θεοῦ, τέμενος ἅγιον, οἶκος προσευχῆς, συνάθροισις λαοῦ, σῶμα χριστοῦ, ὄνομα αὐτοῦ, νύμφη χριστοῦ, ἐκκαλουμένη πρὸς μετάνοιαν καὶ πρὸς εὐχὴν τοὺς λαούς. τῷ ὕδατι τοῦ ἁγίου βαπτίσματος αὐτοῦ καθαρισθεῖσα, καὶ τῷ αἵματι αὐτοῦ τῷ τιμίῳ ἐρραντισμένη, καὶ νυμφικῶς ἐστολισμένη, καὶ τῷ τοῦ ἁγίου πνεύματος μύρῳ σφραγιζομένη, κατὰ τὸν προφητικὸν λόγον, μύρον ἐκκενωθὲν ὄνομά σοι, καὶ εἰς ὀσμὴν μύρου σου δραμοῦμαι, ὅτι ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν πώγωνα τὸν ἀαρὼν τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ. Ἄλλως.

Ἐκκλησία ἐστὶν ἐπίγειος οὐρανός, ἐν ᾗ ὁ ἐπουράνιος θεὸς ἐνοικεῖ καὶ ἐμπεριπατεῖ, ἀντιτυποῦσα τὴν σταύρωσιν καὶ τὴν ταφὴν καὶ τὴν ἀνάστασιν χριστοῦ, δεδοξασμένη ὑπὲρ τὴν σκηνὴν τοῦ μαρτυρίου τοῦ Μωυσέως, ἐν πατριάρχαις προτυπωθεῖσα, ἐν ἀποστόλοις θεμελιωθεῖσα, ἐν ᾗ τὸ ἱλαστήριον, καὶ τὰ ἅγια τῶν ἁγίων, ἐν προφήταις προκηρυχθεῖσα, ἐν ἱεράρχαις κατακοσμηθεῖσα, καὶ ἐν μάρτυσι τελειωθεῖσα, καὶ ἐν τοῖς ἁγίοις αὐτοῦ λειψάνοις ἐνθρονιασθεῖσα. Ἄλλως.

Ἐκκλησία ἐστὶν οἶκος θεϊκός, ἔνθα ἡ μυστικὴ ζωοθυσία γέγονε καὶ τὰ ἔνδον τοῦ ἱδραπείου, καὶ τὸ ἅγιον σπήλαιον. ἔνθα

ὁ πέτρος καὶ ἡ τράπεζα ἡ ψυχοτρόφος καὶ ζωοποιός, καὶ οἱ ἐν αὐτῇ μαργαρῖται, τὰ θεῖα δόγματα τῆς διδασκαλίας τοῦ κυ πρὸς τοὺς μαθητὰς αὐτοῦ.

Ὁ δὲ σημαντὴρ, κατὰ τὸν τύπον τῶν ἥλων, ἐν οἷς προσήλωσαν τὰς χεῖρας καὶ τοὺς πόδας τοῦ κυ, καὶ ἐδόνησεν εἰς τὰ πέρατα τῆς οἰκουμένης. Ἄλλως.

Τὸ σημαντήριον αἰνίττεται, τὰς τῶν ἀγγέλων σάλπιγγας, καὶ διεγείρει τοὺς ἀγωνιστὰς πρὸς πόλεμον τῶν ἀοράτων ἐχθρῶν.

Τὸ βάπτισμά ἐστι, καθὼς ὁ θεὸς διετάξατο τῷ Μωυσῇ λέγων, καταβὰς διαμάρτυρε τῷ λαῷ τούτῳ, καὶ ἅγνισον αὐτοὺς, καὶ πλυνάτωσαν τὰ ἱμάτια αὐτῶν, καὶ ἔστωσαν ἕτοιμοι τοῦ ἀναβῆναι εἰς τὸ ὄρος πρός με. καὶ πάλιν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγει κύριος ὁ θεὸς, λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡσεὶ χιόνα λευκανῶ. καὶ πάλιν αὐτὸς ὁ κύριος λέγει, ἐὰν μή τις γεννηθῇ δι᾽ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Καὶ τοῖς αὐτοῦ ἀποστόλοις παρήγγειλε λέγων, πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς, εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, βεβαπτίσμεθα δὲ κατὰ τὸν θάνατον αὐτοῦ τοῦ χριστοῦ, καὶ τὴν ἀνάστασιν αὐτοῦ. διὰ γὰρ τῆς ἐν τῷ ὕδατι καταδύσεώς τε, καὶ ἀναδύσεως, τριπλῆς τε ἐπικλύσεως, τὴν τριήμερον ταφὴν καὶ τὴν ἀνάστασιν αὐτοῦ τοῦ χριστοῦ, ἐξεικονίζομεν καὶ ὁμολογοῦμεν. ἔτι δὲ καὶ ὅτι αὐτὸς ἐβαπτίσθη ἐν τῷ Ἰορδάνῃ ὑπὸ Ἰωάννου.

Τὸ χρίεσθαι ἐλαίῳ τοὺς βαπτιζομένους, ἐστὶ κατὰ τὸ ἔλαιον ᾧ ἐχρίοντο οἱ βασιλεῖς καὶ ἱερεῖς καὶ οἱ προφῆται, καθὼς καὶ ὁ χριστὸς ἐχρίσθη, ὡς βασιλεὺς καὶ ἱερεὺς τῷ χρίσματι τῆς σαρκώσεως. ἔτι δὲ καὶ τὸ μὴ δύνασθαι τὸν διάβολον κρα-

τεῖν ἡμῶν τῷ κράτει τῆς ἁμαρτίας, τοῦ θανάτου, ὅ ἐστιν,
ὃ παραβάσει τοῦ Ἀδὰμ ἐπῆλθεν ἡμῖν θάνατος.
Τὸ ὕδωρ ἐστὶ μυστικῶς ἐμφαῖνον ἡμῖν τὸ μυστικὸν λουτρὸν
τοῦ ὕδατος καὶ τοῦ πυρὸς τοῦ ἁγίου πνεύματος, εἰς κά-
θαρσιν τοῦ ῥύπου τῆς ἁμαρτίας ἡμῶν, καὶ ἀναζήτησιν
τῆς παλιγγενεσίας, καὶ ζωῆς αἰωνίου ἀνάμνησιν. δι' οὗ βα-
πτίσματος τὴν υἱοθεσίαν δεξάμενοι, ἀπηλλάγημεν τῆς
δουλείας, καὶ τῆς καταδυναστείας τοῦ διαβόλου, καὶ ἀπε-
λάβομεν τὴν ἐλευθερίαν τῆς χάριτος τοῦ υἱοῦ τοῦ θῦ,
ἐν ᾧ ἁγιάσας καὶ καθαρίσας ἡμᾶς ὕδατι καὶ πνεύματι,
προσήγαγε τῷ θῷ, καὶ πρὶ λέγων, πάτερ δίκαιε, ἰδοὺ ἐγὼ καὶ
τὰ παιδία ἅ μοι ἔδωκας, ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί
σου, οὓς δέδωκάς μοι, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι, καὶ
γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέστειλας
Ἰν̄ Χν̄, τοῦ εἶναι αὐτοὺς κληρονόμους τῆς βασιλείας
μου. Περὶ ὧν φησὶν ὁ πὴρ. Ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ
ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτοῖς εἰς θεὸν, καὶ αὐτοὶ
ἔσονταί μοι εἰς λαὸν ἡγιασμένον, εἰς βασίλειον ἱεράτευ-
μα. τὸ δὲ ἅγιον πνεῦμα βεβαιοῖ τὰς ἐπαγγελίας, ὡς μάρ-
τυς πιστὸς καὶ ἀπαράγραφος, πληροφορῶν ἡμᾶς.
ἴδ' ἐπιγραφὴν ἁγίαν, καὶ παρυπογράφει τὴν ἁγίαν
τριάδα λιβέλλου δίκην τὸ πνεῦμα τὸ ἅγιον, ὡς γλῶσσα
τοῦ θῦ καὶ πρς̄, καὶ κάλαμος γραμματέως ὀξυγράφου,
διαχαράττον οὖν ἐν τῇ σημειώσει τοῦ χῦ, οὐ διὰ μέλανος
καὶ χάρτου, ἀλλὰ διὰ μύρου τῆς χρίσεως, καὶ ὡς ἐν τόμῳ καινῷ
ταῖς πλαξὶ τῶν καρδιῶν τῶν πιστῶν τὸν σταυρὸν τοῦ χῦ
ἐγχαράττον, καθὼς φησὶν ὁ προφήτης, καὶ ἔγραψα τὸν
νόμον μου φησὶν ὁ θεὸς ἐν ταῖς καρδίαις αὐτῶν, καὶ ἐν
σημειώσομαι αὐτὸν ἐπὶ τὸ μέτωπον αὐτῶν, τοῦ σημειω-
θῆναι αὐτοῖς τὸ φῶς τοῦ προσώπου μου, καὶ εἶναι αὐτοὺς
ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ, δεικνύων ἡμᾶς καὶ κληρονόμους
τῆς αὐτοῦ βασιλείας, καὶ υἱοὺς γνησίους καὶ συγκληρο-

νόμους αὐτοῦ, ἐὰν περ καὶ ἀγωνισώμεθα φυλάξαι τὸ ἀπ) βάπτισμα σῶον, καὶ τὴν σφραγῖδα σώαν.

Ἡ κόγχη ἐστὶ, κατὰ τὸ ἐν Βηθλεὲμ σπήλαιον, ὅπου ἐγεννήθη ὁ Χριστὸς, καὶ κατὰ τὸ σπήλαιον ὅπου ἐτάφη, καθὼς φησὶν ὁ εὐαγγελιστὴς Μάρκος, ὅτι ἦν σπήλαιον λελατομημένον ἐκ πέτρας, κἀκεῖ ἔθηκαν τὸν Ἰησοῦν.

Ἡ δὲ ἐκκλησία ἐστὶν ἔνθα ἡ μυστικὴ ζωοθυσία γίνεται, καὶ τὰ ἔνδον τοῦ σπηλαίου, ἔνθα ὁ τάφος κεῖται αὐτοῦ, ἔνδον τοῦ ἱερατείου.

Ἡ δὲ κόγχη τοῦ θυσιαστηρίου, ἡ μετάθεσίς ἐστι τοῦ σταυροῦ. οἱ πύργοι δὲ τὰ σημεῖα. διὰ τοῦτο δ᾽ ἀμφότερα λογοθετοῦνται εἰς πρόσωπον τῶν ἱερουργούντων.

Ἡ ἁγία τράπεζά ἐστιν, ἀντὶ τοῦ τόπου τῆς ταφῆς, ἐν ᾧ ἐτέθη ὁ Χριστὸς, ἐν ᾗ πρόκειται ὁ ἀληθινὸς καὶ οὐράνιος ἄρτος ἡ μυστικὴ καὶ ἀναίμακτος θυσία, ζωοθυτούμενος τὴν σάρκα αὐτοῦ καὶ τὸ αἷμα εἰς βρῶσιν καὶ πόσιν ζωῆς αἰωνίου προέθηκε τοῖς πιστοῖς. ἔστι δὲ καὶ θρόνος θεοῦ ἡ αὐτὴ, ἐν ᾧ ὁ ἐπουράνιος θεὸς, ὁ ἐπὶ τῶν χερουβὶμ ἐποχούμενος, σωματωθεὶς ἐπανεπαύσατο. καθ᾽ ἣν τράπεζαν καὶ ἐν τῷ μυστικῷ αὐτοῦ δείπνῳ, μέσον τῶν ἀποστόλων αὐτοῦ καθίσας καὶ λαβὼν ἄρτον καὶ οἶνον, εἶπε τοῖς αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, λάβετε φάγετε καὶ πίετε ἐξ αὐτοῦ, τοῦτο γάρ ἐστι τὸ σῶμά μου καὶ τὸ αἷμά μου. προετυπώθη δὲ ἐν τῇ νομικῇ τραπέζῃ, ἔνθα ἦν τὸ μάννα, ὅ ἐστι Χριστὸς, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς.

Ἡ ἁγία τράπεζά ἐστιν, ἀντὶ τῆς τραπέζης τοῦ Χριστοῦ σὺν τοῖς μύσταις. καὶ οἱ ἐν αὐτῇ μαργαρῖται, τὰ θεῖα δόγματα τῆς διδασκαλίας τοῦ Χριστοῦ πρὸς τοὺς μαθητάς.

Τὸ κιβώριον ἐστὶν ἔνθα ἐστὶν ἡ σταύρωσις, ἀντὶ τοῦ τόπου ὅπου ἐσταυρώθη ὁ Χριστός. ἐγγὺς γὰρ ὁ τόπος καὶ ὑπόβαθρος ὅπου ἐτάφη, ἀλλὰ διὰ τὸ ἐν συντομίᾳ ἐμφέρεσθαι τὴν σταύρωσιν καὶ τὴν ταφὴν καὶ τὴν ἀνάστασιν Χριστοῦ, ἐν τῇ ἐκκλησίᾳ τέτακται. ἔστι

δὲ καὶ κατὰ τὴν κιβωτὸν τῆς διαθήκης κυρίου, ἐν ᾗ λέγεται ἅγια ἁγίων καὶ ἁγίασμα αὐτοῦ. ἐν ᾗ προσέταξεν ὁ θεὸς γενέσθαι δύο χερουβὶμ ἑκατέρωθεν τορευτά, τὸ γὰρ μὲν, ἐστι κιβωτός, τὸ δὲ ὡράριον, φωτισμὸς κυρίου, ἢ φῶς θεοῦ.

Θυσιαστήριόν ἐστιν ἱλαστήριον, ἐν ᾧ προσεφέρετο περὶ τῆς ἁμαρτίας κατὰ τὸ ἄπιον μνῆμα τοῦ χριστοῦ, ἐν ᾧ θυσιαστηρίῳ καὶ θυσίαν ἑαυτὸν ὁ χριστὸς προσήγαγε τῷ θεῷ καὶ πατρί, διὰ τῆς προσφορᾶς τοῦ σώματος αὐτοῦ, ὡς ἀμνὸς θυόμενος, καὶ ὡς ἀρχιερεὺς καὶ υἱὸς ἀνθρώπου, προσφέρων καὶ προσφερόμενος, εἰς μυστικὴν καὶ ἀναίμακτον θυσίαν, καὶ λογικὴν λατρείαν τοῖς πιστοῖς ἱεροθυτούμενος. δι᾽ ἧς μέτοχοι γεγόναμεν τῆς αἰωνίου ζωῆς καὶ ἀθανάτου, ὅνπερ ἀμνὸν προετύπωσεν ἐν αἰγύπτῳ Μωσῆς πρὸς ἑσπέραν, καὶ τῷ αἵματι αὐτοῦ τὸν ὀλοθρευτὴν ἄγγελον ἀπέστρεψε, τοῦ μὴ θανατῶσαι τὸν λαόν. τὸ γὰρ πρὸς ἑσπέραν σημαίνει, ὅτι καὶ πρὸς ἑσπέραν ἐσφαγιάσθη ὁ ἀληθινὸς ἀμνός, ὁ τοῦ κόσμου αἴρων τὴν ἁμαρτίαν τῷ σταυρῷ αὐτοῦ χριστός, καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη χριστός.

Θυσιαστήριόν ἐστι καὶ λέγεται ἡ φάτνη καὶ ὁ τάφος τοῦ κυρίου.

Θυσιαστήριόν ἐστι καὶ λέγεται κατὰ τὸ ἐπουράνιον καὶ νοερὸν θυσιαστήριον, ἐν ᾧπερ ἀντιτυποῦσι τὰς νοερὰς καὶ λειτουργικὰς ἱεραρχίας τῶν ἀΰλων καὶ ἄνω δυνάμεων, καὶ οἱ ἐπίγειοι καὶ ἔνυλοι ἱερεῖς παρεστῶτες καὶ λατρεύοντες τῷ κυρίῳ διαπαντός, ὥστε καὶ τοιούτους δεῖ εἶναι, ὡς πῦρ φλέγον. κατὰ γὰρ τὴν τῶν ἐπουρανίων ἀκολουθίαν, καὶ τὴν τῶν ἐπιγείων διάταξιν ὁ υἱὸς τοῦ θεοῦ καὶ κύριος τῆς τῶν ἁπάντων ἐνομοθέτησεν.

Βῆμά ἐστιν ὑπόβαθρος τόπος καὶ θρόνος, ἐν ᾧπερ ὁ παμβασιλεὺς χριστὸς προκάθηται μετὰ τῶν αὐτοῦ ἀποστόλων, ὡς λέγει πρὸς αὐτούς, ὅτι καθήσεσθε ἐπὶ δώδεκα θρόνων κρίνοντες τὰς ιβ. φυλὰς τοῦ Ἰσραήλ. θρόνοι δὲ λέγονται τὸ κήρυγμα τῆς πίστεως, ἐν ᾧ κηρύγματι θαρροῦντες, ἐδίδαξαν,

καὶ δι' αὐτοῦ λαμβάνουσι τὴν ἀντιμισθίαν τοῦ κηρύγματος, τὴν ἐπουράνιον βασιλείαν, ἐπεὶ καθέδρα ἐκεῖ οὐκ ἔστι. ὑποδεικνύει δὲ καὶ τὴν δευτέραν αὐτοῦ παρουσίαν, καθ' ἣν ἐλθὼν ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς, ἀποδοὺς ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ καὶ πάντα κόσμον κρίναι, ὡς λέγει ὁ προφήτης. ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ.

Κοσμίτης ἐστὶ κατὰ τὸ νομικὸν καὶ ἅγιον κόσμιον ἐμφαῖνον τοῦ σταυρωθέντος Χριστοῦ τὸ ἐκσφράγισμα, διὰ τοῦ σταυροῦ κοσμούμενον.

Κιόνια ἤτοι τὰ στήθεα τὰ διαχωρίζοντα τὸ βῆμα ἀπὸ τοῦ λοιποῦ ναοῦ, εἰσὶν ἃ δηλοῦσι τὸν μετὰ ἔξωθεν τοῦ βήματος ναόν, τὴν εἴσοδον καὶ παράστασιν τοῦ λαοῦ τοῦ εἰσερχομένου εἰς προσευχήν. τὸ δὲ ἔσωθεν ἤτοι τὸ βῆμα, δηλοῖ τὰ ἅγια τῶν ἁγίων, εἰς ὃ καὶ μόνοι οἱ ἱερεῖς καὶ οἱ μετ' αὐτῶν εἰσίασιν.

Κάγκελλά εἰσι, τῆς προσευχῆς τόπον δηλοῦντα, ἐν οἷς σημαίνει τὴν μὲν ἔξωθεν τοῦ λαοῦ εἴσοδον, τὴν δὲ ἔσωθεν τὰ ἅγια τῶν ἁγίων ὑπάρχουσαν καὶ μόνοις τοῖς ἱερεῦσι οὖσαν ἐπίβατον. ἔστι δὲ καὶ ἀληθῶς εἰς τὸ ἅγιον μνῆμα κάγκελλα χαλκᾶ, διὰ τὸ μηδένα εἰσιέναι ἐν αὐτῷ ἁπλῶς καὶ ὡς ἔτυχεν.

Ὁ ἄμβων ἐστὶν ἐμφαίνων τὸ σχῆμα τοῦ λίθου τοῦ ἁγίου μνήματος, ὃν ὁ ἄγγελος ἀποκυλίσας ἐκ τῆς θύρας τοῦ μνήματος, ἀνεβόα τὴν ἀνάστασιν τοῦ κυρίου ταῖς μυροφόροις. ἔστι δὲ καὶ κατὰ τὸν προφήτην τὸν λέγοντα ἐπ' ὄρους πεδινοῦ ἄρατε σημεῖον, ἀνάβηθι ὁ εὐαγγελιζόμενος καὶ ὕψωσον φωνήν. ὄρος γάρ ἐστιν εἰς τόπον πεδινὸν καὶ ὁμαλὸν κείμενον.

Τὸ κατὰ ἀνατολὰς εὔχεσθαι, παραδεδομένον ἐστίν, ὡς καὶ τὰ λοιπὰ ἐκ τῶν ἁγίων ἀποστόλων, καὶ ἔστιν οὕτως. διὰ τὸ τὸν νοητὸν ἥλιον τῆς δικαιοσύνης Χριστὸν τὸν θεὸν ἡμῶν καὶ ἐπὶ γῆς φανῆναι ἐν τοῖς μέρεσι τῆς ἀνατολῆς τοῦ αἰσθητοῦ ἡλίου.

ἡλίου. κατὰ τὸν προφήτην τὸν λέγοντα, ἀνατολὴ ὄνομα αὐτῷ. καὶ πάλιν προσκυνήσατε τῷ κῷ, τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς, καὶ προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ, καὶ πάλιν στήσονται οἱ πόδες κῦ ἐπὶ τὸ ὄρος κῦ τῶν ἐλαιῶν κατὰ ἀνατολάς. ταῦτά φασιν οἱ προφῆται, καὶ διὰ τὸ ἀποκαραδοκεῖν ἡμᾶς πάλιν τὸν ἐν ἐδὲμ παράδεισον, κατὰ ἀνατολὰς ἀπολαμβάνειν, καὶ ὡς ἐκδεχομένους τὴν ἀνατολὴν τῆς φωτοφανείας τῆς δευτέρας τοῦ κῦ παρουσίας καὶ παλιγγενεσίας.

Τὸ μὴ κλίνειν γόνυ τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς ἁγίας κυριακῆς, σημαίνει τὴν τῆς καταπτώσεως ἡμῶν ἀνόρθωσιν γενομένην, διὰ τῆς τριημέρου τοῦ χῦ ἀναστάσεως.

Τὸ δὲ μέχρι τῆς πεντηκοστῆς μὴ κλίνειν γόνυ, διότι τὰς ἑπτὰ ἡμέρας μετὰ τὸ ἅγιον πάσχα ἐπαπλουμένας κρατεῖν τῇ διακινησίμῳ. τὸ ἑπτάκις ἑπτὰ, τεσσαρακονταεννέα, καὶ ἡ κυριακὴ πεντήκοντα.

Τὸ δὲ ξύρισμα τῆς κεφαλῆς τοῦ ἱερέως, καὶ τὸ γυροειδὲς αὐτοῦ τμῆμα τὸ μέσον τῶν τριχῶν, ἀντὶ τοῦ ἀκανθίνου στεφάνου, ὃν πρὸ ὁ χς ἐφόρεσεν.

Ὁ ἐν τῇ κεφαλῇ τοῦ ἱερέως περικείμενος διπλοῦς στέφανος ἐκ τῆς τῶν τριχῶν σημειώσεως, εἰκονίζει τὴν τοῦ ἀποστόλου Πέτρου τιμίαν κάραν, ἣν ἐν τῷ τοῦ κῦ καὶ διδασκάλου κηρύγματι ἀποσταλεὶς, καὶ καρεὶς ὑπὸ τῶν ἀπειθούντων τῷ λόγῳ, ὡς ἐμπαιζόμενος ὑπ' αὐτῶν, ταύτην ὁ διδάσκαλος χριστὸς εὐλόγησε, καὶ ἐποίησε τὴν ἀτιμίαν τιμὴν, καὶ τὴν χλεύην εἰς δόξαν. καὶ ἔθηκεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον, οὐκ ἐκ λίθων τιμίων, ἀλλὰ τῷ λίθῳ καὶ τῇ πέτρᾳ τῆς πίστεως αὐτοῦ ἐκλάμπουσαν, ὑπὲρ χρυσίον καὶ τοπάζιον καὶ λίθους τιμίους. κορυφὴ γὰρ κεκαλλωπισμένη, καὶ στέφανος τοῦ δωδεκαλίθου, οἱ ἀπόστολοί εἰσι, πέτρα δὲ ὁ παναγιώτατος ἀπόστολος ὑπάρχει ἀρχιεράρχης τοῦ χῦ.

Ἡ στολὴ τοῦ ἱερέως ὑπάρχει κατὰ τὸν ποδήρη Ἀαρών, τουτέστιν ἱμάτιον, ὅ ἐστιν ἱερατικὸν ἔνδυμα τὸ μέχρι τῶν ποδῶν τὸ τιμιώτατον. ἔστι δὲ πυροειδὴς κατὰ τὸν προφήτην τὸν λέγοντα. Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. καὶ πάλιν τίς οὗτος ὁ παραγινόμενος ἐξ ἐδώμ; ἐδὼμ γὰρ ἑρμηνεύεται γήινος, ἢ ἐκλεκτὸς, ἢ κόκκινος. εἶτα ἐπάγει, ἐρύθημα ἱματίων αὐτοῦ, ἐξ ἀμπέλου βοσώρ. διατί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ, ἐμφαίνοντος τὴν βαφεῖσαν τοῦ χῦ στολὴν τῆς σαρκὸς ἐν αἵμασιν, ἐν τῷ ἀχράντῳ αὐτοῦ σταυρῷ. πάλιν δὲ ὅτι καὶ κοκκίνην χλαμύδα ἐφόρεσεν ἐν τῷ πάθει ὁ χς, ἐμφαίνουσιν οἱ ἀρχιερεῖς ποίου ἀρχιερέως εἰσὶν ὑπασπισταί.

Τὸ δὲ ἀπεζωσμένους τοὺς ἱερεῖς περιπατεῖν φελωνίοις, δείκνυσιν ὅτι καὶ ὁ χς ἐν τῷ σταυρῷ ἀπερχόμενος οὕτως ἦν βαστάζων τὸν σταυρὸν αὐτοῦ.

Ἐν ταῖς ἄνω λαμπρότησι τῶν νοερῶν οὐρανίων λειτουργῶν, προφητῶν καὶ ἱεραρχῶν, εἰσὶ πρεσβύτεροι εἴκοσι τέσσαρες, καὶ διάκονοι ἑπτὰ, οἱ μὲν πρεσβύτεροι κατὰ μίμησιν τῶν σεραφικῶν δυνάμεων εἰσὶ, ταῖς μὲν στολαῖς, δίκην πτερύγων κατακεκαλυμμένοι, ταῖς δὲ δυσὶ πτέρυξι τῶν χειλέων τὸν ὕμνον βοῶντες, καὶ κατέχοντες τὸν θεῖον καὶ νοητὸν ἄνθρακα χριστὸν ἐν τῷ θυσιαστηρίῳ, τῇ λαβίδι τῆς χειρὸς φανερῶς φέροντες.

Οἱ δὲ διάκονοι εἰς τύπον τῶν ἀγγελικῶν δυνάμεων ταῖς λεπταῖς τῶν λεπτῶν ὡραρίων πτέρυξιν, ὡς λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα περιτρέχουσιν.

Πρῶτον μὲν τὸ στιχάριον λευκὸν ὄν, τῆς θεότητος τὴν αἴγλην ἐμφαίνει, καὶ τοῦ ἱερέως τὴν λαμπρὰν πολιτείαν.

Τὰ λωρία τοῦ στιχαρίου εἰσὶ τὰ ἐν τῇ χειρὶ, ἐμφαίνοντα τὸν δεσμὸν τοῦ χριστοῦ, δήσαντες γὰρ αὐτὸν ἀπήγαγον πρὸς καϊάφαν τὸν ἀρχιερέα καὶ τὸν Πιλάτον.

Τὰ λωρία τὰ εἰς τὰ πλάγια, εἰσὶ, τὸ αἷμα τὸ ῥεῦσαν ἐκ τῆς πλευρᾶς τοῦ χριστοῦ ἐν τῷ σταυρῷ.

Τὸ περιτραχήλιον ἐστὶ τὸ φακιώλιον μεθ' οὗ ἐπεφέρετο ὑπὸ τοῦ ἀρχιερέως δεδεμένος, καὶ συρόμενος ἐπὶ τὸ πρόσθεν, ἐπὶ τῷ τραχήλῳ ὁ χριστός, ἐν τῷ πάθει αὐτοῦ ἀπερχόμενος.

Τὸ δὲ τοῦ ἐπιτραχηλίου δεξιὸν μέρος, πέφυκεν ὁ κάλαμος ὃν ἔδωκαν ἐμπαίζοντες τῇ δεξιᾷ τοῦ χριστοῦ.

Τὸ δὲ τοῦ ἐξ εὐωνύμου μέρους, ἡ τοῦ σταυροῦ βασταγὴ ἐπὶ τῶν ὤμων αὐτοῦ.

Ἡ δὲ ζώνη, ἣν περιζώννυται, πέφυκεν ἡ εὐπρέπεια, ἣν ὁ χριστὸς βασιλεύσας, εὐπρεπῆ περιεζώσατο δύναμιν τῆς θεότητος.

Τὸ δὲ φελώνιον, ἐμφαίνει τὴν ἀπὸ κοκκίνου πορφύραν, ἣν περ τῷ Ἰησοῦ ἐμπαίζοντες, οἱ ἀσεβεῖς ἐφόρεσαν, ἔστι δὲ καὶ ἡ στολὴ τοῦ βαπτίσματος.

Τὸ ὠμοφόριόν ἐστι τοῦ ἀρχιερέως, κατὰ τὴν στολὴν τοῦ Ἀαρὼν, ἣν περ ἐφόρουν οἱ ἐν νόμῳ ἀρχιερεῖς, σουδαρίοις μακροῖς τὸν εὐώνυμον ὦμον περιτιθέντες, κατὰ τὸν ζυγὸν τῶν ἐντολῶν τοῦ χριστοῦ.

Τὸ δὲ ὠμοφόριον ὃ περιβέβληται ὁ ἐπίσκοπος, δηλοῖ τὴν τοῦ προβάτου δορὰν, ὅπερ πλανώμενον εὑρὼν ὁ κύριος, ἐπὶ τῶν ὤμων αὐτοῦ ἀνέλαβε, καὶ σὺν τοῖς μὴ πεπλανημένοις ἠρίθμησεν. ἔχει δὲ καὶ σταυρούς, διὰ τὸ καὶ τὸν χριστὸν ἐπὶ τοῦ ὤμου βαστάσαι τὸν σταυρὸν αὐτοῦ. ἔτι δὲ καὶ οἱ θέλοντες κατὰ χριστὸν ζῆν ἐπὶ τῶν ὤμων αἴρουσι τὸν σταυρὸν αὐτοῦ, ὅ ἐστιν ἡ κακοπάθεια, σύμβολον γὰρ κακοπαθείας ὁ σταυρός.

Τὸ μοναχικὸν σχῆμά ἐστι κατὰ μίμησιν τοῦ ἐρημοπολίτου καὶ βαπτιστοῦ Ἰωάννου, ὅτι τὸ ἔνδυμα αὐτοῦ, ἦν ἐκ τριχῶν καμήλου, καὶ ζώνη δερματίνη περὶ τὴν ὀσφὺν αὐτοῦ.

Τὸ δὲ κείρεσθαι τὴν κάραν ὁλοτελῶς, κατὰ μίμησιν τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοθέου, καὶ Παύλου τοῦ ἀποστόλου, καὶ τῶν λοιπῶν.

Τὰ δὲ ἀναβόλαια, εἰσὶ κατὰ τὰ ἀναβόλαια, ἃ περιεφόρουν ἱμάτια.

Τὰ δὲ κουκούλλια, κατὰ τὸν λέγοντα ἀπόστολον, ὅτι ἐσταύρωταί μοι ὁ κόσμος, κἀγὼ τῷ κόσμῳ.

Τὸ δὲ μανδίον, ἐμφαῖνον διὰ τῆς ἀπολελυμένης ἁπλώσεως τὴν πτερωτικὴν τῆς τῶν ἀγγέλων μιμήσεως, καθότι ἀγγελικὸν σχῆμα λέγεται.

Ἡ δὲ ὀθόνη μεθ' ἧς λειτουργοῦσιν οἱ διάκονοι, δηλοῖ τὴν τοῦ Χριστοῦ ταπείνωσιν, ἣν ἐνεδείξατο ἐν τῷ νιπτῆρι.

Τὸ δὲ ἐγχείριον τὸ ἀπὸ τῆς ζώνης, ἤγουν τὸ ἀπομάξαι τὰς χεῖρας αὐτοῦ λέντιον, καὶ πέφυκε τὸ ἐγχείριον ἔχειν ἀπὸ τῆς ζώνης, ἀντίτυπον τοῦ ἀπομάξαντος τὰς χεῖρας, καὶ τοῦ ἀθῷός εἰμι ἐπιφωνήσαντος.

Ἡ προσκομιδὴ ἡ γινομένη ἐν τῷ σκευοφυλακίῳ, ἐμφαίνει τὸν κρανίου τόπον, ἐν ᾧ ἐσταυρώθη ὁ Χριστός. ἐν ᾧ λόγος, κεῖσθαι τὸ κρανίον τοῦ προπάτορος Ἀδάμ. δείκνυσι δὲ, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον ὅπου ἐσταυρώθη.

Προετυπώθη δὲ ὁ τοῦ κρανίου τόπος οὗτος ἐν τῷ Ἀβραὰμ, ὅτε ἐφ' ἑνὶ τῶν ὀρέων, τοῦ θεοῦ κελεύσαντος, τὸ θυσιαστήριον ἐκ λίθων ἐποίησε, καὶ ἐστίβασε ξύλα, καὶ ἔθηκε τὸν υἱὸν αὐτοῦ, καὶ ἀνήνεγκε κριὸν ἀντ' αὐτοῦ εἰς ὁλοκάρπωσιν. οὕτως ὁ θεὸς καὶ πατὴρ, ὁ ἄναρχος καὶ παλαιὸς τῶν ἡμερῶν, τὸν ἄναρχον υἱὸν αὐτοῦ ἐπ' ἐσχάτων τῶν χρόνων, σαρκωθέντα ἐκ τῆς παρθένου καὶ θεοτόκου, ἐκ τῆς ὀσφύος Ἀβραὰμ κατ' ἐπαγγελίαν τοῦ ὅρκου οὗ ἔθηκε πρὸς αὐτὸν, ὥς τε καὶ ὑπὲρ γένους ἀνθρώπου, οὐκ ἐφείσατο τοῦ υἱοῦ αὐτοῦ τοῦ ἀγαπητοῦ καὶ μονογενοῦς, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, καὶ ἔπαθε μὲν ὡς ἄνθρωπος ἐν τῇ σαρκὶ, ἀλλ' ἔμεινεν ἀπαθὴς τῇ θεότητι. καὶ γὰρ ὁ Χριστὸς

ἀπερχόμενος ἐν τῷ σταυρῷ αὐτοῦ, ἐβάσταζε τὸν σταυρόν, καὶ ἀντὶ κηρίου ἐτύθη τὸ σῶμα αὐτοῦ τὸ ἄμωμον, ὡς ἀμνὸς σφαττόμενος τῇ λόγχῃ τὴν πλευρὰν αὐτοῦ, καὶ ἀρχιερεὺς θυόμενος ὡς υἱὸς ἀνθρώπου, καὶ προσφέρων ἑαυτὸν καὶ προσφερόμενος εἰς τὸ ἀνενέγκαι ἁμαρτωλοὺς πολλούς. καὶ τέθνηκε μὲν ὡς ἄνθρωπος, ἀνέστη δὲ ὡς θεός, δι᾽ ἣν ἔσχεν ὑπερκόσμιον δόξαν παρὰ τῷ θεῷ καὶ γεννήτορι.

Ἡ δὲ προσκομιδὴ τοῦ ἄρτου πέφηνε, τὸ σῶμα τοῦ κυρίου, τὸ παγὲν διὰ τὴν σωτηρίαν ἡμῶν τῶν πιστῶν.

Ὁ ἄρτος τῆς προθέσεως ὁ ἀποκαθιδρούμενος, ἐμφαίνει τὴν κάθαρσιν τοῦ κόσμου, καὶ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος τοῦ θεοῦ, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἄνθρωπος γέγονε, καὶ ἑαυτὸν προέθηκε θυσίαν καὶ προσφοράν, καὶ τὸ σῶμα αὐτοῦ ἀντίλυτρον ἐξίλασμα ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας, ἀναλαβὼν μὲν τὸ φύραμα ὅλον τῆς ἀνθρωπίνης φύσεως χωρὶς ἁμαρτίας, προσενεχθεὶς δὲ ὡς ἀπαρχὴ καὶ ἐξαίρετον ὁλοκάρπωμα τῷ θεῷ καὶ πατρὶ ὑπὲρ τοῦ ἀνθρωπίνου γένους, ὡς λέγει, ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, καὶ ὁ τρώγων τοῦτον τὸν ἄρτον, ζήσεται εἰς τὸν αἰῶνα. περὶ οὗ φησὶ καὶ ὁ προφήτης Ἱερεμίας, δεῦτε καὶ ἐμβάλλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, δεικνὺς τὸ ξύλον τοῦ σταυροῦ, τὸ ἐν τῷ σώματι ἐμπαγέν.

Ἡ δὲ λόγχη, ἀντὶ τῆς κεντησάσης τὴν πλευρὰν τοῦ Ἰησοῦ.

Τὸ δὲ ἐν τῇ λόγχῃ ἀποκαθαίρεσθαι, σημαίνει τό, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ τὰ ἑξῆς.

Ὁ δὲ δίσκος, ἡ κλίνη ἐστίν, ἐν ᾗ τὸ σῶμα τοῦ κυρίου ὑπὸ τοῦ ἱερέως καὶ τοῦ διακόνου κατασκευάζεται, οἵτινες εἰσὶν Ἰωσὴφ καὶ Νικόδημος.

Ὁ δὲ οἶνος πέφηνε, τὸ αἷμα τὸ ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ ῥεῦσαν. ἔστι δὲ καὶ ὁ μυστικὸς οἶνος, ὃν ἔδωκε τοῖς μαθηταῖς ἐν τῷ δείπνῳ.

Τὸ δὲ ὕδωρ πέφηνε, τὸ ῥεῦσαν ἐκ τῆς πλευρᾶς αὐτοῦ τοῦ

χοῦ, καὶ διὰ τὴν θερμότητα, δηλοῖ τὴν ζέσιν τοῦ ἁγίου πνεύματος, τὴν δὲ λευκότητα, τὴν ἀκίβδηλον πίστιν.

Ὁ οἶνος ὁμοῦ καὶ τὸ ὕδωρ, εἰσί, τὸ ἐξελθὸν ἐκ τῆς πλευρᾶς αὐτοῦ αἷμα καὶ ὕδωρ, καθὼς ὁ προφήτης λέγει, ἄρτος αὐτῷ δοθήσεται φαγεῖν, καὶ ὕδωρ αὐτῷ ποτὸν πιστόν, ἀντὶ γὰρ τῆς λόγχης τῆς κεντησάσης τὸν χριστὸν ἐν τῷ σταυρῷ ὑπὸ Λογγίνου, ἐστὶν αὕτη ἡ λόγχη.

Ὁ ἄρτος καὶ τὸ ποτήριον, κυρίως καὶ ἀληθῶς κατὰ μίμησιν τοῦ μυστικοῦ ἐκείνου δείπνου, ἐν ᾧ ὁ χριστὸς ἔλαβεν ἄρτον καὶ οἶνον, καὶ εἶπε, λάβετε φάγετε καὶ πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο γάρ ἐστι τὸ σῶμά μου καὶ τὸ αἷμα. δεικνὺς, ὅτι κοινωνοὺς ἡμᾶς ἐποίησε τοῦ θανάτου, καὶ τῆς ἀναστάσεως, καὶ τῆς δόξης αὐτοῦ.

Ἡ δὲ προσφορὰ, ἡ καὶ ἄρτος καὶ εὐλογία καὶ ἀπαρχὴ λεγομένη, ἐξ ἧς τὸ κυριακὸν σῶμα διατέμνεται, εἰς τύπον τῆς ἀειπαρθένου καὶ θεοτόκου λαμβάνεται, ἥτις κατ᾽ εὐδοκίαν τοῦ πατρὸς, καὶ θέλησιν τοῦ υἱοῦ αὐτοῦ καὶ λόγου, καὶ ἐπέλευσιν τοῦ θείου πνεύματος, τὸν ἕνα τῆς ἁγίας τριάδος υἱὸν τοῦ θεοῦ καὶ λόγον, εἰσδεξαμένη τέλειον θεὸν καὶ τέλειον ἄνθρωπον ἀπεκύησεν. ὥσπερ δὲ πάλιν ὁ ὑπερούσιος θεὸς, σάρκα ἐκ ταύτης προσλαβόμενος ἐν μιᾷ ὑποστάσει, τέλειος ἦν θεὸς καὶ ἄνθρωπος, ὅμοιος ἡμῖν χωρὶς ἁμαρτίας, οὕτω καὶ τὸ κυριακὸν σῶμα ὡς ἔκ τινος κοιλίας καὶ σαρκὸς τοῦ παρθενικοῦ σώματος, τοῦ ὅλου ἄρτου φημὶ, τῆς εὐλογίας καὶ τῆς προσφορᾶς, παρὰ τοῦ διακόνου, ὡς ἡ μεγάλη ἐκκλησία παρέλαβε, διατέμνεται σιδήρῳ τινὶ, ὅπερ καὶ λόγχην λέγουσιν, εἰ καὶ μήπω ταύτης ἐστὶν ὁ καιρὸς, καὶ οὕτως ἰδιοϋποστάτως ἐκ μέσου ταύτης ἀφαιρεῖται.

Ὁ μέντοι διάκονος ὁ τοῦτο ἐνεργῶν, ἑτοιμάσας ἤδη αὐτῷ καὶ τὸ μέλλον ἐπιτελεῖσθαι δεσποτικὸν αἷμα, ἐν τῷ προσήκοντι τοῦ πάθους καιρῷ, διὰ τῆς τοῦ ζωοποιοῦ πνευ

ἐπιφοιτήσεως, ἀφίησι ταῦτα ἐν τῇ προθέσει, τὴν εὐχὴν ἐπιλέγοντος τοῦ ἱερέως.

Αὐτὸς δὲ ὁ τὸ θεῖον σῶμα διατέμνων διάκονος ἀπὸ τῆς εὐλογίας τὸν ἄγγελον μιμεῖται, τὸν τῇ παρθένῳ τὸ χαῖρε προσφθεγγόμενον. εἰ δὲ καὶ ἱερεῖς τοῦτο τέμνουσιν οὐ θαυμαστὸν, πρὸς γὰρ τὰ ἔθη τῆς μεγάλης ἐκκλησίας ὁρᾶν χρή. οὕτω τοιγαροῦν ἀφίεται τὸ θεῖον σῶμα ἐν τῇ προθέσει, ὥσπερ ἐν Βηθλεὲμ, ὅπου γεγέννηται ὁ χριστὸς, οὗ αἱ ἔξοδοι ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος, ὁμοῦ δὲ καὶ ὡς ἐν τῇ Ναζαρὲτ. πρὸς δὲ καὶ τῆς ἐν Καπερναοὺμ διατριβῆς τὸν τόπον ἡ πρόθεσις ἐκπληροῖ. τούτου γὰρ ἕνεκεν ἐν προοιμίοις προέφημεν, ὅτι τὸ ἐν τῶν νῦν τυπουμένων, τῇ θυσίᾳ καὶ βίοις τοῦ τόπου τελεῖται καὶ ἀναφέρεται. καὶ ἁπλῶς εἰπεῖν, τὸν τριακονταετῆ χρόνον τὸν πρὸ τοῦ βαπτίσματος καὶ τὰς διατριβὰς ἡ πρόθεσις ἐκπληροῖ.

Τὸ δὲ ποτήριόν ἐστιν ἀντὶ τοῦ σκεύους, ὃ ἐδέξατο τὸ ἐκχυθὲν αἷμα τῆς κεντηθείσης ἀχράντου πλευρᾶς, καὶ χειρῶν καὶ ποδῶν τοῦ χριστοῦ τὸ ἀπομύρισμα.

Ὁ δὲ κρατὴρ, τὸ ῥύσιον ποτήριον, ὃ γὰρ δέδωκε τοῖς μαθηταῖς αὐτοῦ ἐν τῷ δείπνῳ.

Ποτήριον δὲ πάλιν ἐστὶ κατὰ τὸν κρατῆρα, ὃν γράφει κυρίως, ἤτοι ἡ σοφία καὶ ὁ υἱὸς τοῦ θεοῦ, ἐκέρασε τὸ ἑαυτοῦ αἷμα, ἀντὶ τοῦ οἴνου ἐκείνου, καὶ προσέθηκεν ἐν τῇ ἁγίᾳ αὐτοῦ τραπέζῃ, λέγων τοῖς πᾶσι, πίετε ἐξ αὐτοῦ πάντες, ἀντὶ τοῦ οἴνου τοῦ κεκρασμένου, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Κρατῆρες ἑρμηνεύονται καὶ οἱ μαζοὶ τῆς ἐκδου, ῥύσιον εὐφροσύνης ποτήριον, καὶ φυλακτήριον παντὸς γένους βροτείου.

Τὸ δὲ σκευοφυλάκιον ὅπου ἡ προσκομιδὴ ἐπιτελεῖται, ἀντὶ τοῦ κρανίου τόπου ἐστί.

Τὸ εἰλητὸν, σημαίνει τὴν σινδόνα, ἐν ᾗ ἐνειλήθη τὸ σῶμα τοῦ χριστοῦ, ἐκ τοῦ σταυροῦ καταβὰν καὶ ἐν μνήματι τεθέν.

Καὶ ἡ ἐπάνω κάλυψις τοῦ δίσκου, ἐμφαίνει τὴν σινδόνα, ἣν εἵλιξεν τὸ σῶμα τοῦ κυρίου.

Τὸ δὲ δισκοκάλυμμα, ἐστὶν, ἀντὶ τοῦ σουδαρίου τοῦ ὄντος ἐπὶ τοῦ προσώπου περικαλύπτοντος αὐτὸ ἐν τῷ τάφῳ.

Τὸ καταπέτασμα ἤτουν ὁ ἀὴρ, ἐστὶ καὶ λέγεται ἀντὶ τοῦ λίθου οὗ ἠσφαλίσατο τὸ μνημεῖον ὁ Ἰωσὴφ, ὃ περιεσφράγισεν ἡ πλάνη τῆς κουστωδίας. Ἰδοὺ ἐσταύρωται ὁ Χριστὸς, τέθαπται ἡ ζωὴ, ἠσφαλίσθη ὁ τάφος. Καὶ εὐθέως ὁ θυμιατὴρ ὑποδεικνύει τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ. τὸ δὲ πῦρ, τὴν θεότητα. καὶ ὁ εὐώδης καπνὸς μηνύει τὴν εὐωδίαν τοῦ ἁγίου πνεύματος προπορευομένην. ὁ γὰρ θυμιατὴρ, ἑρμηνεύεται εὐωδεστάτη εὐφροσύνη.

Τὸ δὲ θυμίαμα πάλιν, ἀντὶ τῶν ἀρωμάτων, ἃ προσέφερον εἰς τὸν ἐνταφιασμὸν τοῦ κυρίου. καὶ ἡ σμύρνα καὶ ὁ λίβανος τῶν μάγων, ἡ καθαρὰ προσευχὴ τῶν ἀγαθῶν ἔργων, ἐξ ὧν ἡ εὐωδία ἔρχεται, καθὼς φησιν ὁ ἀπόστολος, Χριστοῦ εὐωδία ἐσμέν.

Γνώτωσαν πάντες οἱ ἱερεῖς, οἱ τῷ ἁγίῳ θυσιαστηρίῳ προσεδρεύοντες, καὶ τὴν ἀναίμακτον θυσίαν ἱερουργοῦντες, ὅτι τὰ ζωηρὰ πάθη Χριστοῦ καταγγέλλομεν.

Δίδοται τοίνυν καιρὸς παρὰ τοῦ ἀρχιερέως τῷ ἱερεῖ τῷ μέλλοντι ἄρχεσθαι τῆς θείας μυσταγωγίας. οὗτος δὲ ὁ καιρὸς σχηματίζει, τὸν παρὰ τοῦ προφήτου Ἡσαΐου προαναφωνηθέντα καιρὸν, τῆς τοῦ προδρόμου Ἰωάννου μηνύσεως, καὶ τῆς Χριστοῦ πρὸς ἡμᾶς ἐπιδημίας.

Ὁ δέ γε ἱερεὺς ὁ τὴν ἔναρξιν τῆς θείας λειτουργίας ποιούμενος, εἰκόνα φέρει τοῦ προδρόμου Ἰωάννου καὶ Βαπτιστοῦ προκαταρξαμένου τοῦ κηρύγματος, καὶ λέγοντος, μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βαπτίζοντος πάντας τοὺς προσερχομένους.

Οἱ διάκονές εἰσιν οἱ ποιμένες.

Οἱ ἱερεῖς εἰσὶν οἱ ἄγγελοι. Ὁ διάκονος.

Εὐλόγησον

Εὐλόγησον δέσποτα. Ὁ ἱερεύς.

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Οὕτω τὴν πρώτην ἔχει τάξιν τῶν πρὸς τὸν θεὸν ἐντεύξεων ἡ δοξολογία. διὰ τοῦτο πρὸ πάσης εὐχῆς καὶ ἱερολογίας, ὁ ἱερεὺς δοξολογεῖ τὸν θεόν. πόσῳ δὲ τελειοτέρως ἐπιφημίζει τοῦ θεοῦ, καὶ οὐδ' ἑνιαῖον; οὐ γὰρ εὐλογητὸς ὁ θεός, ἢ εὐλογημένη ἡ τοῦ θεοῦ βασιλεία, ἀλλὰ τοῖς προσώποις διῃρημένως, εὐλογημένη ἡ βασιλεία φησὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὅτι διὰ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου πρώτης, ἔμαθον οἱ ἄνθρωποι, ὡς εἴη τρία πρόσωπα ὁ θεός. ταύτης δὲ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου, μυσταγωγία ἐστὶ τὰ τελούμενα. ὅθεν ἐν τοῖς προοιμίοις αὐτῆς, ἔδει προλάμπειν καὶ κηρύττεσθαι τὴν τριάδα. καὶ ὑπὸ τῶν ἄνω δυνάμεων δοξάζεται ὁ θεὸς τρισὶν ἁγιασμοῖς, καὶ ὑπὸ ἀνθρώπων ἡ βασιλεία τοῦ Χριστοῦ εὐλογεῖται, ὃς δυνάμει θεότητος αὐτοῦ τὸν ᾅδην ἐσκύλευσε, καὶ ἡμᾶς ἠλευθέρωσε.

Τὸ δὲ ἀμήν. ἀληθῶς, ἢ γένοιτο.

Διὰ δὲ τοῦ εἰς αἰῶνας τῶν αἰώνων, τὸν καπνὸν τῆς πόλεως Βαβυλῶνος ἀναβαίνειν δηλοῦται. ὅτι τὸ αἷμα τῶν δούλων αὐτοῦ, ἐκ τῆς χειρὸς Βαβυλῶνος ἐξεζήτησε, καὶ τοὺς αὐτῆς οἰκήτορας διὰ κολάσεως εὐηργέτησεν, ἐκκοπὴν τῆς ἁμαρτίας ἐργασάμενος. Ὁ διάκονος.

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Μετὰ δὲ τὴν δοξολογίαν τὴν αἴτησιν λέγει. τὸ γὰρ τί προσευξόμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν. καὶ ἵνα μὴ βαττολογῶμεν, διδάσκει ἡμᾶς, ἃ δεῖ περὶ τῆς εὐχῆς, ὅτι ἐν εἰρήνῃ εὔχεσθαι δεῖ. οὔτ' ἐξομολογησαμένους πρότερον, οὔτ' εὐχαριστήσαντας τῷ θεῷ, ὅτι ἐν τῷ εἰπεῖν τὴν εἰρήνην, κἀκεῖνα περιέλαβεν, εἴ τις ἀκριβῶς ἐθέλει σκοπεῖν. νῦν διδάσκει πρῶτον δεῖ αἰτεῖσθαι τὴν ἄνωθεν εἰρήνην, καὶ τὴν τῶν ψυχῶν σωτηρίαν, οὕτω γὰρ ὁ Χριστὸς ἐκέλευσεν αἰτεῖσθαι. μετὰ ἠρέμου νοὸς τὰς εὐχὰς ἡμῶν ἀποδῶμεν.

Τῆς παναγίας ἀχράντου, καὶ τὰ ἑξῆς. Τὰς πράξεις πάντως τῶν ἁγίων μνησθέντες, ἕτερος τὸν ἕτερον, καὶ τὴν ζωὴν ἡμῶν ἅπασαν, σὺν τοῖς καλοῖς ἡμῶν ἔργοις τῷ θεῷ παραδώσωμεν.

Τὰ ἀντίφωνά εἰσι, τῶν προφητῶν αἱ προῤῥήσεις. προκαταγγέλλουσαι τὴν παρουσίαν τοῦ ἰησοῦ τοῦ θεοῦ τὴν ἐκ παρθένου ἐπὶ τῆς γῆς, καὶ βοῶσαι. ὁ θεὸς ἡμῶν ἐπὶ τῆς γῆς ὤφθη, καὶ εὐπρέπειαν ἐνεδύσατο. ἤγουν τὴν σάρκωσιν αὐτοῦ δηλοῦσαι, ἣν ἡμεῖς ὑποδεξάμενοι καὶ μαθόντες διὰ τῶν ὑπηρετῶν καὶ αὐτοπτῶν τοῦ λόγου γενομένων τῶν ἀποστόλων, λέγομεν.

Χρὴ δὲ εἰδέναι, ὅτι ἐν ἀρχῇ πάσης τελετῆς ὀρθρινῆς τε καὶ λυχνικῆς, πρῶτον τῆς παλαιᾶς ᾄδονται οἱ ψαλμοὶ, εἶτα τὰ τῆς νέας χάριτος ᾄσματα. ὡς προηγησαμένης τῆς παλαιᾶς διαθήκης, ἧς νομοθέτης οὗτος ὁ γεννηθεὶς ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐχρημάτισεν. ἵν' ἔχωσιν εἰδέναι πάντες, ὡς εἷς καὶ ὁ αὐτὸς θεὸς, καὶ δεσπότης, ὁ ταῦτα κἀκεῖνα νομοθετήσας χριστός. Ἀντίφωνον α΄.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ. Τὰ κατὰ τὴν καρδίαν ἡμῶν ἔργα, διηγήσασθαι τῷ κυρίῳ ἀγαθόν ἐστι.

Καὶ ψάλλειν τῷ ὀνόματι αὐτοῦ ὕψιστε. Ἐν μέλει εἰπεῖν, οὓς σοι προσφέρομεν, ὕμνους δεῖ.

Τοῦ ἀναγγέλλειν τοπρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειαν σου κατὰ νύκτα. Τοῦ διηγήσασθαι φανερῶς, τὸ πῶς ἠλεήθημεν, καὶ κατὰ πάσης ἁμαρτίας προσφέρειν τὴν ἀλήθειαν τῶν πραγμάτων σου.

Ὅτι εὐθὺς κύριος ὁ θεὸς ἡμῶν. Ἐπειδὴ ἀληθὴς κύριος ὁ θεὸς ἡμῶν.

Καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. Καὶ οὐδὲν ψεῦδος παρὰ τῷ θεῷ.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Ἀκμὴν καὶ ἀκμὴν μετὰ ἠρέμου νοὸς τοῦ κυρίου δεηθῶμεν. Ἐκφώνως.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις

καὶ ἡ δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων, ἀμήν. Ὅτι σοῦ ἐστὶν ἡ κυρεία καὶ ἡ βασιλεία πάντων τῶν ὁρατῶν τε καὶ ἀοράτων, καὶ διὰ τοῦτο ἡμεῖς οἱ ἐπὶ γῆς τὴν εὐχαριστίαν ἅπαντες καὶ δόξαν ἀδιαλείπτως σοὶ ἀναπέμπομεν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν. Ἔστιν ἀληθῶς, ἢ γένοιτο. Ἀντίφωνον. β.

Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ὁ κύριος ἐβασίλευσεν ἐπὶ τοὺς οὐρανούς, καὶ τὸν πιστὸν λαὸν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος αὐτοῦ, καὶ ἐξῆλθεν εἰς πόλεμον κατὰ τοῦ διαβόλου.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἐστερέωσε τὴν οἰκουμένην, τὴν ἐκκλησίαν ἐν τῇ πίστει αὐτοῦ, καὶ πύλαι ᾅδου οὐ κατισχύσασιν αὐτῆς.

Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε. Τὰ παθήματά σου ἐπιστεύθησαν εἰς τὸν κόσμον, τῷ λαῷ σου πρέπει ἡ χάρις σου εἰς τοὺς ἀπελευτήτους αἰῶνας.

Συντέτακται δὲ τῷ τέλει τοῦ πρώτου ἀντιφώνου, τὸ ταῖς πρεσβείαις τῆς θεοτόκου σῶσον ἡμᾶς. Τίνος χάριν, ἢ πάντως βεβαιοῦν τὰ πρότερον εἰρημένα, περὶ τοῦ τύπου τῆς ἀειπαρθένου, ὡς τῆς αὐτῆς αὐτὴ προηγεῖται διακονίας, καὶ ἀληθοῦς οἰκονομίας.

Τοῦ δευτέρου δὲ τὸ ἐφύμνιον, ταῖς πρεσβείαις τῶν ἁγίων σου. ἐπεὶ γὰρ ὑπὲρ σωτηρίας ψυχῶν καὶ συγχωρήσεως πταισμάτων τὴν θείαν τελοῦμεν μυσταγωγίαν, εἰκότως, ὡς ὑπερτέραν οὖσαν τὴν θεομήτορα πάντων τῶν ἁγίων ἢ καὶ αὐτῶν τῶν ἐπουρανίων δυνάμεων, εἰς ἱκεσίαν προκαλούμεθα. εἶτα τοὺς εὐαρεστήσαντας τῷ ταύτης υἱῷ.

Τὸ δὲ τροπάριον, ὃ κατὰ τὸ τέλος τοῦ δευτέρου ἀντιφώνου λέγεται, τὸ Ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ, καὶ τὰ ἑξῆς, ποίημά ἐστιν, Ἰωσὴφ καὶ Νικοδήμου, ἀπαίροντες γὰρ τὸν

κύκλον πρὸς τὸ ἐνταφιάσαι αὐτόν, ἐμυήθησαν αὐτό, ἀπὸ τοῦ τιμίου καὶ ζωοποιοῦ σώματος τοῦ κυρίου. καὶ τῆς ἐν αὐτῷ ἀχωρίστου θεότητος.

Ἔνιοι δὲ λέγουσιν, ὅτι τὸ αὐτὸ τροπάριον) ἐκπεφώνηται, παρὰ τοῦ τῆς θείας λήξεως βασιλέως Ἰουστινιανοῦ, σφόδρα καὶ αὐτὸ τοῖς συμβόλοις τῆς χριστοῦ μυήσεως ἐφαρμόζον. οὗτος γάρ φησιν ὁ μυηθείς, ὁ μονογενὴς υἱὸς καὶ λόγος προανάρχου πατρὸς ὑπάρχων, καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου, ἀτρέπτου μεινάσης τῆς θεότητος καὶ ἀσυγχύτου, εἷς ἐστὶ τῆς ἁγίας τριάδος, ἐνανθρωπήσας καὶ σταυρωθῆναι καταδεξάμενος, ὁ καὶ ἐν τρισαγίῳ ὕμνῳ συνδοξαζόμενος ὑπὸ τῶν νοερῶν καὶ οὐρανίων δυνάμεων, ἀνεκφοιτήτως γὰρ καὶ ἀχωρίστως τῶν πατρικῶν κόλπων καταβὰς σεσάρκωται, αὐτὸς οὖν ἐστὶν ὁ σῴζων ἡμᾶς. Ὁ διάκονος.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ. Ὁ ἱερεὺς ἐκφώνως.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν. Ἀγαθὸς θεὸς λέγομεν καὶ φιλάνθρωπος εἶ, ὅτι τὸν υἱόν σου εἰς τὸν κόσμον ἱλασμὸν ἀπέστειλας. διὰ τοῦτο τὴν δόξαν καὶ εὐχαριστίαν σοι ἀναπέμπομεν. ὃ ἐστὶ προσάγομεν, νῦν καὶ πάντοτε εἰς τοὺς αἰῶνας. Ἀντίφωνον γ.

Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ. Δεῦτε ἐμπλησθῶμεν πάσης χαρᾶς ἐν κυρίῳ.

Ἀλαλάξωμεν τῷ θεῷ τῷ σωτῆρι ἡμῶν. Δεηθῶμεν μετὰ δακρύων τῷ θεῷ ἡμῶν Ἰησοῦ.

Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. Καὶ πρὸ τῆς παρουσίας αὐτοῦ δεηθῶμεν αὐτῷ, καὶ ψάλλοντες ἱκετεύσωμεν αὐτόν.

Ὅτι θεὸς μέγας κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Μέγας θεός ἐστιν Ἰησοῦς χριστός, καθὼς ὁ ἀπόστολος λέγει, ἐν τῷ εἰπεῖν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν,

Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, καὶ ἐπὶ πάντα τὰ ἔθνη ἐβασίλευσε, καὶ βασιλεύσει διὰ τῆς πίστεως αὐτοῦ, ὅτι οὐκ ἀπώσεται κς τὸν λαὸν αὐτοῦ.

Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ. Ὁ πιστὸς λαὸς δηλονότι καὶ οἱ λοιποὶ τῶν προφητῶν.

Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν. Ὅτι αὐτοῦ ἐστι πᾶν τὸ πλῆθος τῶν ἀνθρώπων, καὶ αὐτὸς τὸ πρότερον ἐδημιούργησεν αὐτούς. καὶ πάλιν ἐν τῷ βαπτίσματι αὐτοῦ ἀνεκαίνισεν αὐτούς.

Καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. Καὶ τὴν καρδίαν πάντων τῶν ἀνθρώπων ἔκτισε τὸ πνεῦμα τὸ ἅγιον αὐτοῦ, ἐν τῷ λουτρῷ τῆς ἀφθαρσίας.

Ἡ εἴσοδος τοῦ εὐαγγελίου, ἐμφαίνει τὴν παρουσίαν τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ τὴν εἴσοδον τὴν εἰς τὸν κόσμον τοῦτον, ὥς λέγει ὁ ἀπόστολος. Ὅταν εἰσαγάγῃ, ἤγουν ὁ θεὸς καὶ πατὴρ τὸν πρωτότοκον τὸν μονογενῆ αὐτοῦ, εἰς τὴν οἰκουμένην, λέγει. καὶ προσκυνησάτωσαν αὐτὸν πάντες ἄγγελοι αὐτοῦ.

Ἔπειτα δεικνύοντος καὶ τοῦ ἀρχιερέως, διὰ τῆς στολῆς αὐτοῦ, τὴν τῆς σαρκὸς τοῦ χριστοῦ στολήν, τὴν ἐρυθρὰν καὶ αἱματώδη, ἣν ἐφόρεσεν ὁ ἄϋλος καὶ θεὸς, ὡς πορφύραν βαφεῖσαν ἐξ ἀχράντων αἱμάτων τῆς θεοτόκου, καὶ ἀνέλαβε τὸ πλανηθὲν πρόβατον ἐπὶ τῶν ὤμων αὐτοῦ, τὸ ἀρχαῖον κώδιον τοῦ ἀδαμιαίου φυράματος, ὁ ποιμὴν ὁ καλὸς, ὁ ποιμαίνων τὸν ἰηλ ἐν τῇ ῥάβδῳ τοῦ σταυροῦ αὐτοῦ. ἐν σπαργάνοις μὲν εἱληθεὶς καὶ τεθεὶς, οὐκ ἐν φάτνῃ μὲν τῶν ἀλόγων, ἀλλ᾽ ἐν τραπέζῃ λογικῇ ἀνθρώπων, ὃν ἐν τῇ γεννήσει αὐτοῦ ὕμνησαν ἀγγέλων στρατιαὶ, λέγουσαι. Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία. καὶ πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλλέτωσάν σοι, καὶ πάντων καθυπακουόντων, λέγει.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, σῶσον ἡμᾶς υἱὲ θεοῦ. Πρῶτον αὐτῷ κλίνωμεν γόνυ, ὡς ὑπεύθυνοι ὄντες, καὶ τότε συγχώρησιν αὐτῷ αἰτήσωμεν, ὧν ὀφείλομεν αὐτῷ, καὶ κηρύττωμεν αὐτοῦ τὴν παρουσίαν, φανερωθεῖσαν ἡμῖν ἐν χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἄλλως περὶ τῆς εἰσόδου.

Δοκῶ μὲν γὰρ τὴν ἐπὶ τοῦ Ἰορδάνου ἀνάδειξιν καὶ φανέρωσιν τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν, τὴν τοῦ ἀρχιερέως εἴσοδον ὑπαινίττεσθαι. μέχρι γὰρ ταύτης, εἰ καὶ ἦν ὁ ἀρχιερεὺς, ἀλλ' οὐχὶ πᾶσι δῆλος καὶ γνώριμος, οὐδὲ εἰς μέσον ἑστὼς, καὶ τὰ ὑπορφυῆ καὶ ἐξαιρέσια τελῶν, ἀλλ' ὁ τὸν καιρὸν λαβὼν ἱερεὺς, ὡς πρόδρομος ἐνήργει, τὸ διὰ μετανοίας βάπτισμα. ὃς εἰσελθόντα ἰδὼν τὸν ἀρχιερέα, μεθίσταται, μονονουχὶ τοῦ τε ἐκεῖνο ἠρέμα πρὸς ἑαυτὸν διαλεγόμενος, ὅπερ ἔφησε καὶ ὁ Ἰωάννης. τοῦτον δεῖ αὐξάνεσθαι, ἐμὲ δὲ ἐλαττοῦσθαι. καὶ εὐθὺς παραχωρεῖ τῷ ἀρχιερεῖ τὰ μείζονα τελεσιουργεῖν. ὃς καὶ λέγει. Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν.

Ὁ τρισάγιος ὕμνος, ἔστι μὲν οὕτως, ὡς ἐκεῖ μὲν οἱ ἄγγελοι εἶπον, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, καὶ δόξα ἐν ὑψίστοις θεῷ. ἐνταῦθα δὲ ὡς οἱ μάγοι τὰ δῶρα προσφέροντες τῷ Χριστῷ, πίστιν ἐλπίδα καὶ ἀγάπην, ὡς χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῶν ἀσωμάτων τὸ ᾆσμα βοῶντες πιστῶς καὶ λέγοντες.

Ἅγιος ὁ θεὸς, ὁ θεὸς ἤτοι ὁ πατήρ. Ἅγιος ἰσχυρὸς, ὁ υἱὸς καὶ λόγος. διότι τὸν καθ' ἡμῶν ἰσχυρὸν διάβολον δεσμεύσας, κατήργησε διὰ τοῦ σταυροῦ, τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου. καὶ τὴν ζωὴν καὶ τὴν ἰσχὺν καὶ τὴν ἐξουσίαν ἡμῖν ἔδωκε τοῦ πατεῖν ἐπάνω αὐτοῦ.

Ἅγιος ἀθάνατος, τὸ πνεῦμα τὸ ἅγιον, τὸ ζωοποιὸν, δι' οὗ πᾶσα ἡ κτίσις ζωοποιεῖται, καὶ διαμένει, καὶ βοᾷ λέγουσα, ἐλέησον ἡμᾶς.

Ὁ παράκλητος τὸ πνεῦμα τὸ ἅγιον καὶ τῆς ἀληθείας, ὁ

τὴν θυσίαν τελεσιουργῶν, καὶ ἀεὶ ἐπιφοιτῶν τοῖς τέκνοις τῆς ἐκκλησίας, καὶ ἐλεεῖ καὶ ἀθανατοῖ διὰ τοῦ βαπτίσματος. Ἄλλως.

Ἅγιος ὁ θεὸς, ἤτοι ὁ πατὴρ, ὁ ὢν καὶ ἦν, καὶ ἐρχόμενος, ὁ χρηματίσας πάλαι τῷ Μωυσῇ λέγων. ἐγώ εἰμι ὁ ὤν. ὁ θελήσας τὸν μόσχον θῦσαι δι᾽ ὑμᾶς.

Ἅγιος ἰσχυρὸς, ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, ὃς ἦν ἐν ἀρχῇ πρὸς τὸν θεὸν, δι᾽ οὗ τὰ πάντα ἐγένετο, καὶ μόσχος ὁ ἀεὶ θυόμενος ἑκὼν, καὶ ἀεὶ ζῶν. διὰ δὲ τὸ ἦν ἐν ἀρχῇ πρὸς τὸν θεὸν, δι᾽ οὗ τὰ πάντα ἐγένετο, ἅμα καὶ ὁ μόσχος ὁ ἀεὶ θυόμενος ἑκὼν, καὶ ἀεὶ ζῶν καὶ διαμένων, τὸ ἀθάνατον σημαίνει, τοῦ περιέχοντος ἐν ἑαυτῷ πάντων τῶν ὄντων, τήν τε ἀρχὴν καὶ τὰ μέσα καὶ τὰ τελευταῖα. Ἄλλως.

Ἅγιος ἰσχυρὸς, ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ. ἰσχυρὸς μὲν, ὡς ἰσχὺς θεοῦ σοφία καὶ δύναμις, κατὰ τὸν λέγοντα ἀπόστολον. ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, ἰσχυρὸς καὶ δυνατὸς, καὶ ζῶν, ἐνεργὴς τε καὶ τομώτερος μαχαίρας δισόμου, καὶ τὰ ἑξῆς.

Ἅγιος ἀθάνατος, σημαίνει, τοῦ περιέχοντος ἐν ἑαυτῷ, πάντων τῶν ὄντων τήν τε ἀρχὴν καὶ τὸ τέλος.

Λέγεται δὲ ἐκ τρίτου τὸ τρισάγιον, ἐπεὶ ἁρμόττει καὶ ἐφ᾽ ἑνὶ ἑκάστῳ τῶν τριῶν προσώπων τῆς μιᾶς θεότητος, τὰ τρία ταῦτα ἅγια. ἕκαστον γὰρ τούτων, καὶ ἅγιός ἐστι, καὶ ἰσχυρὸς, καὶ ἀθάνατος. φύσις μὲν γὰρ καὶ οὐσία τοῖς τρισὶ μία. ὄνομα δὲ κοινὸν ἐν ἡ θεότης, εἰ καὶ ἕκαστον τῶν τριῶν προσώπων θεὸς ὀνομάζεται τέλειος. ἐν τούτοις δὲ τοῖς βραχέσι ῥήμασι καλῶς νοεῖται, καὶ τὸ παρὰ τοῦ μεγάλου θεολόγου οὕτω πως εἰρημένον. διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν᾽ οὕτως εἴπω, καὶ συνάπτεται διῃρημένως. καὶ ἀλλαχοῦ ὁ αὐτὸς. οὐ φθάνω τὸ ἓν νοῆσαι καὶ τοῖς τρισὶ περιλάμπομαι. οὐ φθάνω τὰ τρία διελεῖν, καὶ εἰς τὸ ἓν ἀναφέρομαι. ἀλλὰ μή τις τὰς μαρτυρίας ταύτας τοῦ τρισαγίου ἀκούων, νομίσει τὸν τρισάγιον τὴν ἀρχὴν λαβεῖν, ἀπὸ τῆς τοῦ Χριστοῦ

καὶ θεοῦ ἡμῶν ἐνανθρωπήσεως. πάλαι γὰρ ὑπὸ τῶν θεη-
γόρων προφητῶν, μυστικῶς τῷ πνι προαναπεφωνημένος
ἦν. Τούτου γὰρ τὸν τύπον καὶ τὰς ῥήσεις ἱστορῶν ὁ Δαδ,
διὰ βραχυλογίας τοῦτον παρίστησιν, ἐδίψησε λέγων ἡ ψυ-
χή μου πρὸς τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα. καὶ ἀλλαχοῦ
τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύμα-
τι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. καὶ ἑτέ-
ρωθεν, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Ὁ δ᾽ ὑπὸ Ἡσαΐου
ἐκφωνηθεὶς σεραφικὸς ὕμνος, καὶ τὰ τρία ἅγια εἰς μίαν
κυριότητα συνάπτων καὶ θεότητα, τίνα διαφορὰν φέρει τοῦ
παρ᾽ ἡμῶν ᾀδομένου τρισαγίου; τὸ δὲ ἀνελθεῖν ἐν τῷ συν-
θρόνῳ τὸν ἀρχιερέα, καὶ σφραγίσαι τὸν λαὸν, δηλοῖ, ὅτι ὁ
υἱὸς τοῦ θεοῦ μέλλων πληροῦν τὴν κατὰ σάρκα ἡμῶν
οἰκονομίαν, ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησε τοὺς
ἁγίους αὐτοῦ μαθητὰς, λέγων αὐτοῖς, εἰρήνην ἀφίημι ὑμῖν.
δεικνύων, ὅτι τὴν αὐτὴν εἰρήνην καὶ εὐλογίαν δέδωκε
τῷ κόσμῳ ὁ Χριστὸς διὰ τῶν ἀποστόλων αὐτοῦ. Ἄλλως.

Ἡ σφραγὶς, ἣν ὁ ἀρχιερεὺς εἴωθε ποιεῖν ἐν τῷ τέλει τοῦ
τρισαγίου, εἰς πλήρωσιν μὲν καὶ οἱονεὶ ἐκσφράγισμα
τῶν περὶ Χριστοῦ προηγορευμένων προφητικῶν χαρακτηρίζε-
ται. ἡ γὰρ αὐτοῦ διὰ σαρκὸς παρουσία, σφραγὶς ἐγένετο
ἐπικυροῦσα, τὰ ὑπ᾽ ἐκείνων προηγορευμένα ὡς ἀληθῆ.
αὕτη δὲ καὶ εἰς ἀρχὴν τῶν θεοπρεπῶν ἔργων, καὶ τῆς τοῦ
ἀνθρωπίνου γένους ἀναπλάσεως τέτακται. τάξις γάρ φη-
σιν ὁ θεολόγος γρηγόριος ἀρίστη, ἐκ θεοῦ τε ἄρχεσθαι, καὶ
εἰς θεὸν ἀναπαύεσθαι. Ἀρχιερεὺς, ὁ κύριος. Θρόνος, ἡ παρθένος.
Τὸ δὲ καθίσαι δηλοῖ, ὅτι ὁ υἱὸς τὴν ἑαυτοῦ σάρκα ἣν ἐφόρε-
σε, καὶ τὸ πρόβατον, ὃ ἀνέλαβεν ἐπὶ τῶν ὤμων, ὅπερ ση-
μαίνει τὸ ὠμοφόριον, ὅ ἐστι τὸ ἀδαμιαῖον φύραμα, ἀνεβί-
βασεν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ κυριότη-
τος τῶν ἄνω δυνάμεων, καὶ προσήγαγεν αὐτὸ τῷ θεῷ καὶ
πατρί. ἐπειδὴ γὰρ ὁ μὲν ἐθέωσεν, ὁ δὲ ἐθεώθη, τουτέστι τὸ

πρόσλημμα

πρόσλημμα. ὁ διὰ τὴν ἀξίαν τοῦ προσενέγκαντος, καὶ τὴν καθαρότητα τοῦ προσενεχθέντος, ἐδέξατο αὐτὸς ὁ θεὸς καὶ πατήρ, ὡς θυσίαν καὶ προσφορὰν εὐάρεστον ὑπὲρ τοῦ ἀνθρωπίνου γένους, πρὸς ὃν εἶπεν ὁ Δαβίδ, εἶπεν ὁ κύριος τῷ κυρίῳ μου κάθου ἐκ δεξιῶν μου. ἤτοι ὁ πατὴρ τῷ υἱῷ, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης αὐτοῦ ἐν ὑψηλοῖς. οὗτός ἐστιν Ἰησοῦς ὁ Ναζωραῖος, ὁ ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν. Μετὰ δὲ τὸν τρισάγιον ὕμνον, ἀναγινώσκεται βιβλίον ἀποστολικὸν καὶ λέγει ὁ διάκονος.

Πρόσχωμεν. Ἀκουτισθῶμεν, ἐνωτισθῶμεν πάντες μετὰ ἠρέμου νοός.

Σοφία. Ψαλμὸς τῷ Δαβίδ. Ὁ λόγος τοῦ θεοῦ ὁ ἅγιος καὶ ἀγαπητός, ἀναγγέλλει τὰ τοῦ πατρός, ἅ εἰσιν ἀπόκρυφα.

Τὸ προκείμενον μηνύει πάλιν, τὴν τῶν προφητῶν ἐκφαντορίαν, καὶ τὴν προμήνυσιν τῆς τοῦ βασιλέως χριστοῦ παρουσίας, ὡς στρατιῶται προλέγοντες καὶ βοῶντες.

Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. καὶ ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.

Καὶ ὁ αὐτόπτης καὶ ὑπουργὸς τοῦ λόγου Παῦλος βοᾷ, κηρύττων τοῦ θεοῦ τὴν βασιλείαν, καὶ λέγων, χριστὸς παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος, καὶ τὰ ἑξῆς. Μεθ' οὗ βοᾷ καὶ Ἰωάννης ὁ Βαπτιστής, ὁ ὀπίσω μου ἐρχόμενος, ἐστὶν ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, αὐτὸς ἡμᾶς ἁγιάσει ἐν πνεύματι καὶ πυρί, καὶ μέσον ἡμῶν ἕστηκεν.

Μετὰ δὲ τοῦτο, καὶ ἡ τῶν ἀποστόλων κλῆσις, καὶ ἡ ἀνάδειξις αὐτῶν ἀναφαίνεται διὰ τῆς τῶν πράξεων αὐτῶν, ἢ τῶν ἐπιστολῶν ἀναγνώσεως.

Τὸ ἀλληλούια, βοᾷ Δαβίδ, καὶ λέγει, ὁ θεὸς ἡμῶν ἐμφανῶς ἥξει, καὶ πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται. ἔφαναν αἱ ἀστραπαὶ τῶν εὐαγγελιστῶν αὐτοῦ τῇ οἰκουμένῃ. τῇ γὰρ ἑβραΐδι διαλέκτῳ, ἐστὶ τὸ ἀλ, ἔρχεται, ἐφάνη. τὸ δὲ ηλ.

ὁ θς. διὰ δὲ οὐία, αἰνεῖτε καὶ ὑμνεῖτε τὸν ζῶντα θν. Ἄλλως.
Ἀλ. ὁ πὴρ. ἠλ. ὁ υἱός. οὐία. διὰ πνα δὲ ἅγιον.
Ἀλληλούια, θεὸς ἰσχυρὸς, κραταιὸς, αἶνος θεοῦ. αἰνεῖτε τὸν ὄντα θν. Ἀλληλούια, αἶνος τῷ ὄντι θῷ. Ἄλλως.
Ἀλληλούια. θεῖον αἶνον σημαίνει τελείως, διὰ τὴν τρισυπόστατον πατρὸς υἱοῦ καὶ ἁγίου πνς ἑνιαίαν θεότητα.
Ἄλλως. Ἀλληλούια. κῆρυξ τοῦ εὐαγγελίου κράζων ὁ κς ἔρχεται. ἄλλως. Ἀλληλούια. αἰνέσατε ὑμνήσατε.
Λέγεται δὲ τοὺς ἀγγέλους ταύτῃ τῇ φωνῇ ὑμνεῖν τὸν θεὸν, ὥσπερ τὰ χερουβὶμ, τὸ ἅγιος, καὶ τοῦτο οἱ ἅγιοι πατέρες παραδεδώκασιν, αὐτήκοοι γενόμενοι, ὥσπερ Ἡσαΐας τῶν σεραφίμ. Καὶ γὰρ εὐθέως ὁ θυμιατὸς ὑποδεικνύει τὴν ἀνθρωπότητα τοῦ χυ. διὰ δὲ πῦρ, τὴν θεότητα. ὁ εὐώδης καπνὸς μηνύει, τὴν εὐωδίαν τοῦ ἁγίου πνεύματος προπορευομένην. ὁ γὰρ θυμιατὸς, ἐστὶν εὐωδεστάτη εὐφροσύνη.

Σοφία. Ὁ λόγος τοῦ θυ. Ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Τουτέστιν ἄρωμεν τὰς διανοίας ἡμῶν σὺν τοῖς ἔργοις ἀπὸ τῶν γηΐνων, καὶ συνήσωμεν τῶν ἀγαθῶν τὴν δήλωσιν.

Τὸ εὐαγγέλιόν ἐστιν, ἡ παρουσία τοῦ ιυ τοῦ θυ, καθ᾽ ἣν ὡράθη ἡμῖν, οὐκέτι διὰ νεφελῶν καὶ αἰνιγμάτων λαλῶν ἡμῖν ὡς ποτὲ τῷ Μωσῇ, διὰ φωνῶν καὶ ἀστραπῶν καὶ σαλπίγγων, ἤχῳ καὶ γνόφῳ καὶ πυρὶ ἐπὶ τοῦ ὄρους, ἢ τοῖς πάλαι προφήταις δι᾽ ἐνυπνίων, ἀλλ᾽ ἐμφανῶς ὡς ἄνθρωπος ἀληθῶς ἐφάνη, καὶ ὡράθη ἡμῖν, ὡς πραῢς καὶ ἡσύχιος βασιλεὺς, ὁ πρὶν καταβὰς ὡς ὑετὸς ἐπὶ πόκον ἀψοφητὶ καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. δι᾽ οὗ ἐλάλησεν ἡμῖν ὁ θεὸς καὶ πὴρ στόμα πρὸς στόμα, καὶ οὐ δι᾽ αἰνιγμάτων. περὶ οὗ ὁ πατὴρ ἐξ οὐρανοῦ μαρτυρεῖ, καὶ λέγει. Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός.

Σοφία. Λόγος καὶ δύναμις, ὁ ἐν προφήταις ῥηθεὶς, καὶ προκηρυχθεὶς ἡμῖν, ἐν εὐαγγελίοις δὲ φανερωθεὶς, ἵνα

ὅσοι λάβωσιν αὐτὸν, καὶ πιστεύσωσιν εἰς τὸ ὄνομα αὐτοῦ, λάβωσιν ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, ὃν ἀκηκόαμεν καὶ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, σοφίαν καὶ λόγον θεοῦ τοῦτον εἶναι πάντες πιστεύοντες βοῶμεν, δόξα σοι κε. Εἶτα πάλιν τὸ πνεῦμα, τὸ ἐν νεφέλῃ φωτεινῇ ἐπισκιάζον, νῦν διὰ νοῦ βοᾷ. Πρόσχωμεν. Προσέχετε, τουτέστιν αὐτοῦ ἀκούετε. Ματθαῖος ἑρμηνεύεται, μέλι. Μάρκος, οἶνος. Λουκᾶς, γάλα. Ἰωάννης, ἔλαιον.

Τὰ τέσσαρα εὐαγγέλιά εἰσι, κατὰ τὰ τέσσαρα πνεύματα καθολικά. ἀπηλιώτην, ζέφυρον, νότον, καὶ βορρᾶν. αὐτὰ γάρ εἰσι πρὸς σύστασιν τοῦ παντός. καθολικὰ δὲ λέγονται, διὰ τὰ ἀντιπνέοντα ὀκτώ. καὶ ἄλλως.

Τέσσαρά εἰσιν εὐαγγέλια, καὶ τέσσαρα καθολικὰ πνεύματα, κατὰ τὰ τετράμορφα ζῶα, λέγω δὴ τὰ χερουβίμ, ἐν οἷς κάθηται ὁ τῶν ὅλων θεός. ἐξ ὧν φαίνεται, ὅτι ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ θεὸς, καὶ συνέχων τὸ πᾶν, φανερωθεὶς, ἔδωκεν ἡμῖν τετράμορφον τὸ εὐαγγέλιον, ἑνὶ δὲ πνεύματι συνεχόμενον. καὶ γὰρ τετραπρόσωπά εἰσι. καὶ τὰ πρόσωπα αὐτῶν εἰκονίζουσι τὴν πραγματείαν τοῦ υἱοῦ τοῦ θεοῦ. Τὸ μὲν γὰρ πρῶτον ζῶον, φησὶν ὅμοιον λέοντι, τὸ ἔμπρακτον αὐτοῦ καὶ ἡγεμονικὸν καὶ βασιλικὸν χαρακτηρίζον. Τὸ δὲ δεύτερον ὅμοιον μόσχῳ, τὴν ἱερουργικὴν καὶ ἱερατικὴν τάξιν ἐμφαῖνον. Τὸ δὲ τρίτον, ἔχον πρόσωπον ἀνθρώπου, τὴν κατὰ ἄνθρωπον αὐτοῦ παρουσίαν φανερῶς διαγράφον. Τὸ τέταρτον, ὅμοιον ἀετῷ πετομένῳ, τὴν τοῦ ἁγίου πνεύματος ἐφιπταμένην δόσιν σαφηνίζον.

Τοίνυν καὶ τὰ εὐαγγέλια, τούτοις σύμμορφά εἰσιν, ἐν οἷς ἐπικάθηται ὁ χς. Τὸ μὲν γὰρ ἀετὸς κατὰ Ἰωάννην εὐαγγέλιον, τὴν ἀπὸ τοῦ πατρὸς ἡγεμονικὴν αὐτοῦ καὶ ἔνδοξον γέννησιν διηγεῖται λέγον. Ἐν ἀρχῇ ἦν ὁ λόγος. Καὶ πάντα δι᾽ αὐτοῦ ἐγένετο. καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. Τὸ δὲ ταῦρος κατὰ Λουκᾶν, ἅτε ἱερατικοῦ

χαρακτῆρος ὑπάρχει, ἀπὸ Ζαχαρίου ἱερέως θυμιῶντος ἄρχεται λέγων. Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν, καὶ τὰ ἑξῆς. Ἤδη γὰρ ὁ σιτευτὸς μόσχος ὑπὲρ τῆς εὑρέσεως τοῦ νεωτέρου παιδὸς ἔμελλε θύεσθαι.
Βοῦς τὸ ὀρεκτικὸν ἢ ὕπαρ σημαίνει. Ποικίλος δὲ ἵππος, Λουκᾶς ὡς εὐγλωττότερον καὶ ποικιλώτερον τὸ κατὰ τὸν κύριον ἐκθέμενος. Ματθαῖος δέ, τὴν κατὰ ἄνθρωπον αὐτοῦ γέννησιν κηρύττει λέγων. Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, καὶ τὰ ἑξῆς. Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. ἀνθρωπόμορφον οὖν τὸ εὐαγγέλιον τοῦτο. ἄνθρωπος τὸ λογικόν, αὐτὸς μέν, τὸν ἐγκέφαλον. Λατῖνοι δὲ λέγουσι, ῥατζιονάβιλε, Ἕλληνες δὲ λέγουσι φρόνησιν καὶ λογιότητα. οἱ δὲ ἄραβες ἤτοι σαρακηνοί, ἐλαφάκας, ἐλακὴλ, ἐλτζινοῦν. Πυρρὸς οὖν ἵππος Ματθαῖος, ὡς τὰ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου Ἰανᾶς ἐκθέμενος.
Λέοντος δὲ Μάρκος ἀπὸ τοῦ προφητικοῦ πνεύματος, τοῦ ἐξ ὕψους ἐπιόντος τοῖς ἀνθρώποις, τὴν ἀρχὴν ἐποιήσατο λέγων. Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, ὡς γέγραπται ἐν τοῖς προφήταις. Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, τὴν πτερωτικὴν εἰκόνα τοῦ εὐαγγελίου, διὰ τούτων δεικνύς. Λέων θυμικόν. λατῖνοι λέγουσιν, ἰρασίβιλε. Καὶ ἄλλως. τὸ θυμικόν, ἀνδρίαν καὶ δειλίαν. λατῖνοι ἰρασίβιλε. σαρακηνοί, ἐλχαδὰβ. ἐν ἰγδὲ, οὐλγίβιω. Καὶ ἄλλως.
Ψάρος ἵππος Μάρκος, ὡς διανθέστερον τὸ εὐαγγέλιον γράψας. Ἰωάννης, ἀετός. τὸ πνευματικόν. Καὶ ἄλλως. Ἀετὸς δὲ ἡ ψυχή. Καὶ ἄλλως. Λευκὸς ἵππος Ἰωάννης, ὡς λευκότερον πᾶσαν αἴνεσιν στηλιτεύσας. καὶ αὐτὸς δὲ ὁ λόγος τοῦ θεοῦ, τῆς μὲν πρὸ Μωσέως πατριάρχαις, κατὰ τὸ θεϊκὸν καὶ ἔνδοξον ὡμίλει. τοῖς δὲ ἐν τῷ νόμῳ, ἱερατικὴν τάξιν ἀπένειμε. μετὰ δὲ ταῦτα ἄνθρωπος γενόμενος, τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος, εἰς πᾶσαν ἐξέπεμψε τὴν

γῆν, σκεπάζων ἡμᾶς ταῖς αὐτοῦ πτέρυξιν. Ὁποία οὖν ἡ πραγματεία τοῦ υἱοῦ τοῦ θεοῦ, τοιαύτη καὶ τῶν ζώων ἡ μορφή, τοιοῦτος καὶ τῶν εὐαγγελίων ὁ χαρακτήρ. τετράμορφα γὰρ τὰ ζῶα, τετράμορφον καὶ τὸ εὐαγγέλιον, καὶ ἡ πραγματεία τοῦ κυρίου, καὶ διὰ τοῦτο, τέσσαρες ἐδόθησαν καθολικαὶ διαθῆκαι τῇ ἀνθρωπότητι. μία μὲν τῷ κατακλυσμῷ τοῦ τόξου, ἐπὶ τοῦ τόξου. Δευτέρα δὲ τῷ Ἀβραὰμ ἐπὶ τοῦ σημείου τῆς περιτομῆς. τρίτη δὲ ἡ νομοθεσία διὰ Μωϋσέως. τετάρτη δὲ ἡ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. τούτων δὲ οὕτως ἐχόντων, μάταιοι πάντες καὶ ἀμαθεῖς, προσέτι δὲ καὶ τολμηροί, οἱ ἀθετοῦντες τὴν ἰδέαν τοῦ εὐαγγελίου, καὶ εἴτε πλείονα εἴτε ἐλάττονα τῶν εἰρημένων περιφέροντες εὐαγγελίων πρόσωπα. οἱ μὲν ἵνα πλείονα δόξωσι τῆς ἀληθείας ἐξευρηκέναι. οἱ δέ, ἵνα τὰς οἰκονομίας τοῦ θεοῦ ἀθετήσωσιν.

Αἱ μετὰ τὴν τῶν θείων εὐαγγελίων ἀνάγνωσιν εὐχαὶ καὶ αἰτήσεις, ἄχρι τοῦ χερουβικοῦ ὕμνου, τὴν ἐν τρισὶ χρόνοις διδασκαλίαν ἐμφαίνουσι τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν, καὶ τὴν τῶν πρὸς τὸ βάπτισμα εὐτρεπιζομένων κατήχησιν. ἐφ' ὃ τούτους ἡ τῶν λόγων δύναμις, καὶ ἡ τῶν θαυμάτων ἐνέργεια καθυφείλκετο. ὅτε δὲ καὶ οἱ κατηχούμενοι καὶ μήπω καταξιωθέντες τῶν τοῦ χριστοῦ μυστηρίων, ἔξω μεθίστανται. αἱ δὲ ἐν τῷ μεταξὺ τούτων γινόμεναι εὐχαί, ὑπὲρ αὐτῶν τε γίνονται τῶν κατηχουμένων, πιστῶν, καὶ αὐτοῦ τοῦ ἀρχιερέως, συνορῶντες γὰρ οἱ θεσπέσιοι πατέρες, ὁποίαν εἶναι χρὴ τὴν ψυχήν, καὶ τὴν χεῖρα τοῦ μέλλοντος ἅπτεσθαι, τοῦ παναχράντου σώματος χριστοῦ τοῦ θεοῦ ἡμῶν, καὶ ὡς καθαρωτέραν τῶν ἡλιακῶν ἀκτίνων ταύτην δεῖ τυγχάνειν, τὰς ὑπὲρ τῆς συγχωρήσεως τούτων εὐχάς, διὰ φιλανθρωπίας ἐσομένης, ἐξέθεντο.

Ἐλέησον ἡμᾶς ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου. Μέγα ἔλεος, ὁ υἱὸς τοῦ θεοῦ καὶ λόγος, ὃν εἰς τὸν κόσμον ἀπέστειλεν ἱλασμὸν ὁ πατήρ.

Τὸ κατασφραγίσαι τὸν λαὸν τὸν ἀρχιερέα, ὑποδεικνύει τὴν μέλλουσαν Χριστοῦ παρουσίαν, ἐν τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ἔτει μέλλειν ἔσεσθαι, διὰ τῆς ψηφίδος τῶν δακτύλων ἐμφαινούσης, ἑξακισχιλιοστὸν πεντακοσιοστόν. τοῦτο καὶ Ἱππόλυτος Ῥώμης, καὶ ὁ ἅγιος Κύριλλος λέγουσιν ἐν τοῖς περὶ τοῦ ἀντιχρίστου λόγοις αὐτῶν, ἐν τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ἔτει, τὴν μέλλουσαν παρουσίαν ἔσεσθαι, καὶ ὁ Χρυσόστομος.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις.

Ὅσοι κατηχούμενοι προέλθετε. Οἱ κατηχούμενοι ἐξέρχονται, ὡς ἀμύητοι τοῦ θείου βαπτίσματος, καὶ τῶν τοῦ Χριστοῦ μυστηρίων, περὶ ὧν λέγει ὁ Κύριος, ὅτι καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, καὶ τὰ ἑξῆς.

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ. Οἱ ἀμύητοι, οἱ ἀβάπτιστοι, καὶ οἱ ἐν ἐπιτιμίοις δι᾽ ἐξαγορεύσεως. ἀμύητοι μέν, οἱ ἄπειροι, οἱ ἔτι μὴ μεταλαβόντες τῶν θείων μυστηρίων. ἀβάπτιστοι δέ, οἱ μὴ φωτισθέντες ἔτι διὰ τοῦ λουτροῦ τοῦ βαπτίσματος, οἱ ἐξαγορεύσαντες καὶ ἔτι ἐν ἐπιτιμίοις ὄντες. προσφωνεῖ, ἵνα πάντες εὔξωνται ὅπως τύχωσι τῆς ἀφέσεως, καὶ τοῦ ζωοποιοῦ θύματος διὰ τοῦ βαπτίσματος.

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν. Οἱ φωτισθέντες καὶ ἀμνησίκακοι ὄντες, οἱ καὶ ἀνεχόμενοι τῆς ἀδικίας, καὶ συγχωρεῖν καὶ εὐεργετεῖν τοῖς ἀδικοῦσιν, εὔξασθε ὑπὲρ τῶν κατηχουμένων, ἤγουν ὑπὲρ τῶν ἀμυήτων, ὥς φησιν ὁ ἀπόστολος, οἱ δυνατοὶ τῶν ἀδυνάτων τὰ βάρη βαστάζετε.

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας. Διδάξῃ αὐτοὺς τὰ τοῦ σωτῆρος τοῦ δι᾽ ἡμᾶς ἐνανθρωπήσαντος.

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης. φανερώσῃ αὐτοῖς τὴν δήλωσιν τῶν ἀγαθῶν πραγμάτων.

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ. Ἀξιώσῃ αὐτοὺς τῆς ζωοποιοῦ θυσίας.

Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

οἱ ἀμύητοι, τὰς αἰσθήσεις καὶ τὰς καρδίας ἁγνὰς, πρὸς τὸν κύριον νεύματε.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον. Ἵνα φωτισθέντες, καὶ τῆς ἀφέσεως, καὶ τῆς μυστικῆς ζωοθυσίας τυχόντες, δοξάζωσί σε σὺν ἡμῖν τὸν πατέρα καὶ υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τὸ εἰλητὸν σημαίνει τὴν σινδόνα, ἐν ᾗ ἐνειλίχθη τὸ σῶμα τοῦ χριστοῦ ἐκ τοῦ σταυροῦ καταβὰν, καὶ ἐν μνημείῳ τεθέν.

Ὅσοι κατηχούμενοι προσέλθετε. Πᾶς ἀμύητος καὶ ἀφώτιστος, καὶ ὧν ἐν ἐπιτιμίοις ἔτι ἀπεύσατε, ἢ κατε, φωτίσθητε, καὶ τῇ ψυχοτρόφῳ τραπέζῃ προσπελάσατε, καὶ τὸν ἱερουργούμενον, ἁγναῖς καρδίαις καὶ ψυχαῖς βλέψατε, ἵνα ὡς οἱ πιστοὶ ἦτε, καὶ μὴ ἦτε ἔτι κατηχούμενοι, ἀκμὴν καὶ ἀκμὴν μετ' ἠρέμου νοὸς τοῦ κυρίου δεηθῶμεν.

Ὁ χερουβικὸς ὕμνος ἐμφαίνει διὰ τῆς τῶν διακόνων προοδοποιήσεως, καὶ τῆς τῶν ῥιπιδίων ἤτοι τῆς τῶν σεραφικῶν ἀπεικονισμάτων ἱστορίας τὴν εἴσοδον τῶν ἁγίων καὶ δικαίων πάντων συνεισερχομένων μετὰ τοῦ ἁγίου τῶν ἁγίων ὑπάρχοντος, συνεισπορευομένων ἔμπροσθεν χερουβικῶν δυνάμεων, καὶ ἀγγελικῶν στρατιῶν, καὶ χορῶν ἀσωμάτων καὶ ἄλλων τάξεων ἀοράτως προτρεχουσῶν, καὶ ὑμνουσῶν καὶ δορυφορουσῶν ἔμπροσθεν τοῦ μεγάλου βασιλέως χριστοῦ, προερχομένου εἰς μυστικὴν θυσίαν, καὶ ὑπὸ χειρῶν ἐνύλων βασταζομένου. μεθ᾽ ὧν καὶ τὸ πνεῦμα τὸ ἅγιον συνεισπορεύεται ἔμπροσθεν ἐν τῇ ἀναιμάκτῳ θυσίᾳ καὶ λογικῇ λειτουργίᾳ, νοερῶς θεωρούμενον, πυρὶ καὶ θυμιάματι καὶ ἀτμίδι καπνοῦ εὐώδους. τοῦ μὲν πυρὸς, δεικνύοντος τὴν θεότητα, τῆς δὲ ἀτμίδος τοῦ εὐώδους καπνοῦ, τὴν παρουσίαν αὐτοῦ, ἐπελθόντος ἀοράτως καὶ εὐωδιάσαντος ἡμᾶς, διὰ τῆς μυστικῆς καὶ ζωοθύτου καὶ ἀναιμάκτου λατρείας καὶ ὁλοκαρπώσεως. ἀλλὰ καὶ αἱ νοεραὶ δυνάμεις, καὶ αἱ χοροστασίαι τῶν ἀγγέλων, ὁρῶσαι τὴν διὰ τοῦ σταυροῦ καὶ

τοῦ θανάτου χριστοῦ τελεσιουργημένην αὐτοῦ οἰκονομί-
αν. λοιπὸν δὲ καὶ τὴν κατὰ τοῦ θανάτου νίκην βοωμένην,
καὶ τὴν ἐν τῷ ᾅδῃ κάθοδον, καὶ τριήμερον ἀνάστασιν, καὶ ἀνά-
βασιν αὐτοῦ σὺν ἡμῖν βοῶσιν ἀοράτως, τὸ ἀλληλούια.

Ὁρῶσαι αἱ νοεραὶ δυνάμεις, τὸ χερουβικὸν ἐρχόμενον μετὰ
τῶν τιμίων δώρων, ἤγουν τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ ἀπὸ
τοῦ κρανίου ἕως τοῦ τάφου σὺν ἡμῖν ἀοράτως βοῶσι
τὸν ὕμνον τὸ ἀλληλούια.

Ἰεζεκιὴλ γάρ φησι. καὶ τὰ χερουβὶμ εἱστήκει ἐκ δεξιῶν τοῦ
οἴκου, ἐν τῷ εἰσπορεύεσθαι τὸν ἄνδρα τὸν ἐνδεδυμένον
τὴν στολήν. καὶ ἡ νεφέλη ἐπλήρωσε τὴν αὐλὴν τὴν ἐσω-
τέραν, καὶ ἀπῆρεν ἡ δόξα κυρίου ἀπὸ τῶν χερουβὶμ εἰς τὸ
αἴθριον τοῦ οἴκου. καὶ ἐνέπλησε τὸν οἶκον ἡ νεφέλη. καὶ
ἡ αὐλὴ ἐπλήσθη τοῦ φέγγους τῆς δόξης κυρίου.

Ἔστι δὲ ἡ ἁγία τράπεζα κατὰ μίμησιν τοῦ ἐνταφιασμοῦ τοῦ
χριστοῦ, καθ' ἣν ὁ Ἰωσὴφ καθελὼν τὸ σῶμα ἀπὸ τοῦ σταυροῦ,
ἐνείλησε σινδόνι καθαρᾷ. καὶ ἀρώμασι καὶ μύροις αὐτὸ
ἀλείψας, ἐβάστασε σὺν Νικοδήμῳ, καὶ ἐκήδευσεν αὐτὸ ἐν
μνημείῳ καινῷ λελατομημένῳ ἐκ πέτρας, ὅπερ ἐστὶν ἀν-
τίτυπον τοῦ ἁγίου μνήματος ἐκείνου, τὸ θυσιαστήριον καὶ
τὸ καταθέσιον δηλαδή. ἐν ᾧ ἐτέθη τὸ ἅγιον καὶ παράχραν-
τον σῶμα, ἡ ἁγία τράπεζα. Ἄλλως.

Ἡ τῶν ἁγίων μετάθεσις ἀπὸ τῆς προθέσεως, τοῦ σώματος
φημὶ τοῦ δεσποτικοῦ, καὶ τοῦ αἵματος, καὶ ἡ τούτων πρὸς
τὸ θυσιαστήριον εἴσοδος, καὶ τὸ χερουβικὸν, τὴν ἀπὸ βι-
θανίας πρὸς τὴν ἱερουσαλὴμ δηλοῖ τοῦ κυρίου εἰσέλευσιν.
τηνικαῦτα γὰρ καὶ ὁ πλεῖστος ὄχλος, καὶ οἱ τῶν ἑβραίων
παῖδες, ὡς βασιλεῖ καὶ νικητῇ τοῦ θανάτου, τὸν ὕμνον
ἀνέφερον αἰσθητῶς. νοητῶς δὲ ἄγγελοι μετὰ τῶν χερουβὶμ,
τὸν τρισάγιον ἀπέδωκαν ὕμνον, καὶ τὰ σκῆπτρα καὶ τὰς
ῥομφαίας ὡς σύμβολα βασιλέως ἐπιφέροντες οἱ διά-
κονοι. αἱ ῥιπίδες δὲ, εἰς τύπον εἰσὶ τῶν χερουβίμ. ὁ δὲ χε-

ρουβικὸς

ρουβικὸς ὕμνος ᾀδόμενος, παρακελεύεται πάντας, ἐντεῦθεν καὶ μέχρι τέλους τῆς ἱερουργίας προσεκτικώτερον ἔχειν τὸν νοῦν, πᾶσαν βιωτικὴν μέριμναν κάτωθεν ἀφεμένους, ὡς βασιλέα μέγαν μέλλοντες ὑποδέχεσθαι διὰ τῆς κοινωνίας.

Ἡ δὲ πρὸς τὴν ἁγίαν τράπεζαν τῶν ἁγίων ἀπόθεσις, μίμησιν ἔχει, τηνικαῦτα μὲν τοῦ ἐσταυρωμένου ἀναγωγῆς, μετ' ὀλίγον δὲ ἡ αὐτή, καὶ τὴν ἐπὶ τοῦ σταυροῦ ὕψωσιν. ἐν δὲ τῷ τέλει τὴν ταφὴν εἰκονίζει καὶ τὴν ἀνάστασιν, καὶ τὴν ἐκεῖθεν ἀνάληψιν. ἵνα γὰρ μὴ τοῦ καθ' ἕκαστον τῶν τότε γενομένων, τὴν ὥραν καὶ τὸν καιρὸν καὶ τὸν τόπον ἀφορίζοντες οἱ ἅγιοι πατέρες, ἔτι καὶ μεταθέσεων ἑτέρων καὶ θυσιαστηρίων πλειόνων δεηθῶσι, κἀκ τούτων μιμητὸν τὸ τῆς ἐκκλησίας καταστῇ μυστήριον. τί ἄρα σκοποῦσιν, ἢ πράττουσιν, ὡς λίαν μεγαλοπρεπές, καὶ τοῦ ἐν αὐτοῖς οἰκοῦντος πνεύματος ἄξιον, τῆς θεουργοῦ δημιουργίας τὸν τρόπον ἐμιμήσαντο, ὡς οἷόν τε ἀνθρώπῳ μιμεῖσθαι τὰ θεῖα καὶ κατεργάζεσθαι. καὶ ὡς οὐρανὸν μέν, τὸ ἐπάνωθεν τῆς ἁγίας τραπέζης ὀρόφωμα ἀπαρτίζουσιν. ὡς ὅλην δὲ γῆν ὁρίζονται, τὸ ὑπὸ τεσσάρων κιόνων τοῦ εἰρημένου κιβωρίου συγκλειόμενον ἢ περιγραφόμενον ἱερὸν ἔδαφος. ἐν ᾧ πληροῦται καὶ ὁ προφητικὸς λόγος ὁ λέγων. εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς ὁ θεός, εἰ μὴ γὰρ οὕτω ταχθείη, πῶς ἂν οἱ ἐν Ἰνδίᾳ τελοῦντες τὸ μέγα τοῦτο μυστήριον καὶ πιστεύοντες αὐτὸ ἐκεῖνο τὸ σῶμα τοῦ Χριστοῦ, καὶ δι' ἡμῶν εἶναι σταυρούμενον, καὶ θαπτόμενον, καὶ ἀνιστάμενον, ποῦ τὴν τὴν σωτηρίαν ἐν μέσῳ τῆς γῆς φήσουσιν ἂν ἐργάσασθαι τὸν δεσπότην, πῶς δὲ οἱ τὰς βενετικὰς νήσους οἰκοῦντες πιστοί, τὸ αὐτὸ μετὰ σωζομένης διανοίας εἰσδέξονται, πάντων ὁμολογούντων ἐν Ἱεροσολύμοις περιγεγράφθαι τῆς γῆς τὸ μεσαίτατον. ἢ πάντως ὅτι μεσιτεύει οὐρανοῦ τε καὶ γῆς οὖσα ἡ ἁγία τράπεζα, καὶ αὖθις κατὰ τὸ μέσον τοῦ οὐρανίου κύκλου ὑφισταμένη, καὶ τὸν μέσον

τῶν κιόνων, τῶν κύκλῳ ἐρειδίων κατὰ τὴν στάσιν ἐκ χρυσα-
τόπον, ὅπου πρὸ αὐτῶν εἴη αὐτὴ ἐν μέσῳ τῆς γῆς τὴν σωτη-
ρίαν ἐργάζεσθαι ἐπεμφαίνει. ἔνθα δὴ καὶ πάντα τὰ τοῦ
πάθους ὑπέστη ὁ κς. τὴν προδοσίαν, τὴν κρίσιν, τὰ πρὸ τοῦ
σταυροῦ, καὶ μετὰ τὸν σταυρόν. εἰκότως οὖν οἱ ἅγιοι πατέρες,
οὕτω τελεῖσθαι ταῦτα καὶ προσφέρεσθαι ἐδογμάτισαν.

Ὁ δίσκος ἐστὶν ἀντὶ τῶν χειρῶν Ἰωσὴφ καὶ Νικοδήμου, τῶν
κηδευσάντων τὸν χριστόν.

Ἑρμηνεύεται δὲ δίσκος ἔνθα ὁ χριστὸς ἐπιφέρεται, κύκλος
οὐρανοῦ. ἐμφαίνων ἐν μικρᾷ περιγραφῇ, τὸν νοητὸν ἥλιον
χριστὸν ἐν τῷ ἄρτῳ ὁρώμενον.

Τὸ δὲ ποτήριόν ἐστιν, ἀντὶ τοῦ σκεύους, ὃ ἐδέξατο τὸ ἐκβλυ-
σθὲν αἷμα τῆς κεντηθείσης ἀχράντου πλευρᾶς, καὶ χει-
ρῶν καὶ ποδῶν τοῦ χριστοῦ ἀπομύρισμα.

Ποτήριον δὲ πάλιν ἐστὶ κατὰ τὸν κρατῆρα, ὃν γράφει κυρίως
ἡ σοφία, ἤτοι ὁ υἱὸς τοῦ θεοῦ. ἐκέρασε γὰρ τὸ αἷμα αὐτοῦ,
ἀντὶ τοῦ οἴνου ἐκείνου, καὶ προέθηκεν ἐν τῇ ἁγίᾳ τραπέζῃ,
λέγων τοῖς πᾶσι. πίετε τὸ αἷμά μου ἀντὶ οἴνου κεκερασμένου
ὑμῖν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Χριστὸς ἡ τοῦ θεοῦ σοφία καὶ δύναμις, τὴν ἑαυτοῦ σάρκα
ᾠκοδόμησεν, ἐξ ἀπειράνδρου μητρὸς ἁγνῆς καὶ παρθένου,
τῆς προκαθαρθείσης ψυχῇ καὶ σώματι. καὶ ὁ λόγος σὰρξ
ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. καὶ ὑπήρεισε στύλους
ἑπτὰ, τὴν τοῦ ἁγίου πνεύματος ἑβδομάδα. ὥς φησιν
ὁ Ἡσαΐας. ἐπαναπαύσεται γὰρ ἐπ' αὐτὸν ἑπτὰ πνεύματα.
ἤγουν αἱ ἑπτὰ ἐνέργειαι τοῦ πνεύματος. ἐν οἷς εἰσὶν ἀν-
τίθετα τῆς πονηρίας ὁμοίως. ἔσφαξε τὰ ἑαυτῆς θύματα
τοὺς προφήτας τοὺς κατὰ καιρὸν ἀναιρουμένους παρὰ τῶν
ἀπίστων ὑπὲρ τῆς ἀληθείας. καὶ βοῶντας ἕνεκά σου θα-
νατούμεθα ὅλην τὴν ἡμέραν. ἐλογίσθημεν ὡς πρόβατα
σφαγῆς. καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον εἰς
τὴν ὑπεραγίαν παρθένον, τὴν ἑαυτοῦ θεότητα. ἑνώσας
τῇ σαρκὶ ὡς οἶνον ἄκρατον. ὁ σωτὴρ γὰρ ἐγεννήθη ἐξ αὐτῆς

ἀσυγχύτως καὶ ἀσυνδιάστως, θεὸς καὶ ἄνθρωπος, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν, τὴν ἐπίγνωσιν τῆς ἁγίας τριάδος καταγγελλομένην, ἀπέστειλε δὲ τοὺς ἑαυτῆς δούλους, εἰς τὸν σύμπαντα κόσμον προσκαλουμένους πάντα τὰ ἔθνη εἰς τὴν ἐπίγνωσιν τοῦ θεοῦ. καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπε, τοῖς μήπω κεκτημένοις τοῦ ἁγίου πνεύματος τὴν χάριν, ἔλθετε φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. τὴν θείαν αὐτοῦ σάρκα, καὶ τὸ ἅγιον αὐτοῦ αἷμα, δέδωκεν ἡμῖν ὁ χριστὸς ἐσθίειν καὶ πίνειν εἰς ἄφεσιν ἁμαρτιῶν.

Τὸ δισκοκάλυμμά ἐστιν, ἀντὶ τοῦ σουδαρίου, ὃ ἦν ἐπὶ τοῦ προσώπου αὐτοῦ, περικαλύπτον αὐτὸν ἐν τῷ τάφῳ.

Τὸ δὲ καταπέτασμα, ἤγουν ὁ ἀήρ, ἔστι καὶ λέγεται ἀντὶ τοῦ λίθου οὗ ἠσφάλισε τὸ μνημεῖον ὁ Ἰωσήφ, ὅνπερ ἐσφράγισεν ἡ τοῦ Πιλάτου κουστωδία.

Ἰδοὺ ἐσταύρωται ὁ χριστός. τέθαπται ἡ ζωή. ἠσφάλισται ὁ τάφος. ἐσφράγισται ὁ λίθος.

Ἡ δὲ νίψις τῶν χειρῶν, ἀντὶ τοῦ νίψαντος, καὶ ἀθῷός εἰμι φωνήσαντος. καθ᾽ ἡμᾶς δὲ τοὺς ἱερεῖς δηλοῖ, ἵνα καθαιροῦντες τὴν συνείδησιν, νοῦν καὶ διάνοιαν, ἅτινά εἰσι χεῖρες τῶν ἡμετέρων ψυχῶν, μετὰ φόβου καὶ πραότητος καὶ ἐπιεικείας πάσης, προσίωμεν τῇ ἁγίᾳ τραπέζῃ.

Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου.

Προσθήσω τοῖς καθαροῖς ἱερεῦσι, τὰς δύο φύσεις μου. τὰς τῆς ψυχῆς χεῖρας λέγω, νίψομαι ἐν ἁγνότητι. καὶ κυκλώσω τὸ θυσιαστήριόν σου κύριε. ὅτιπερ ἀεὶ τῷ θεῷ προσεδρεύειν ὀφείλομεν, οὐδαμοῦ πρὸς τὴν ἄσωτον ἁμαρτίαν ἐμπίπτοντες. Καὶ ἄλλως.

Λειτουργήσω σοι καὶ μεταδώσω τῷ πιστῷ λαῷ τοῦ ἀκοῦσαί με φωνὴν αἰνέσεώς σου, τὴν ἐκφώνησιν δηλοῖ, τοῦ τὰ σὰ ἐκ τῶν σῶν σοι προσφέροντες. Καὶ ἄλλως.

Τὴν ἀνάγνωσιν λέγει. ἀκούσω καὶ διδάξω τὸν αὐτὸν λαόν, ἤγουν τὸν πιστόν. καὶ ἀκούσαντες φυλάξωμεν ἅμα τὰς ἐν-

τολάς σου, καὶ διηγήσομαι πάντα τὰ θαυμάσιά σου, τὰς μυστικὰς λέγω εὐχὰς τῆς φιλανθρωπίας.

Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου. Τὴν ἐκκλησίαν λέγει. εὐπρέπεια δὲ τῆς ἐκκλησίας, ὁ πιστὸς λαός ἐστι.

Καὶ τόπον σκηνώματος δόξης σου. Τὴν καθαρὰν μήτραν λέγει τῆς παρθένου, ἐν ᾗ ἐσκήνωσε. Καὶ ἄλλως. Τὸν τόπον ἔνθα σὺ κατοικεῖς.

Τὴν δέησιν δὲ ἀποπληροῦντες ὑπὲρ τῶν ἐνεχθέντων τιμίων δώρων λέγει. Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου. Τοῦ τε προδρόμου, καὶ ἀποστόλων καὶ πάντων τῶν ἁγίων τὸν βίον καὶ τὰς πράξεις μνησθέντες, οὕτω καὶ ἡμεῖς ἕτερος ἑτέρου ἁμιλληθέντες, τὴν ζωὴν ἡμῶν ἅπασαν μετὰ τῶν ἁγίων παραδώσωμεν τῷ θεῷ σὺν ἔργοις ἀγαθοῖς.

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Διὰ τῆς συμπαθείας τοῦ υἱοῦ σου τῆς εἰς ἡμᾶς, εὐλογοῦμέν σε σὺν ἁγίῳ πνεύματι. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Εἰρήνη πᾶσι. Ὁμογνωμοσύνην καὶ ἀγάπην καὶ ταυτότητα ἀλλήλοις συνάπτοντες, τοῦ κυρίου τὴν μίμησιν αὐτοὶ ἀντιλαμβανόμεν, εἰρήνην τὴν οἰκείαν ἀφιέντος, καὶ διδόντος, καὶ ἐκφωνοῦντος, ἤρεμ) τὸν νοῦν πάντες χῶμεν.

Καὶ τῷ πνεύματί σου. Τουτέστι τὴν πρὸς σὲ ἀδιαίρετον ἕνωσιν δὸς ἡμῖν, ἵνα τῷ πνεύματι εἰρηνεύοντες, ἀχώριστοι τυγχάνωμεν.

Ἀγαπήσωμεν ἀλλήλους. Τὰς ψυχὰς ἀλλήλων συνδέσμῳ συνάψαντες, καὶ οὕτω δυνησόμεθα, μετὰ παρρησίας ἀπολαῦσαι τῆς προκειμένης τραπέζης.

Τὸ ἀγαπήσωμεν ἀλλήλους δηλοῖ, καὶ τὴν πρὸς πάντας ἀγάπην, καὶ εἰς ἑαυτοὺς ἀλλήλους, καὶ τὴν τοῦ θεοῦ γενησομένην ὁμόνοιαν, καὶ τὴν τῶν αἰσθήσεων πάροδον, καὶ τὴν τῶν νοητῶν φανέρωσιν, καὶ τὴν τοῦ ἁγίου συμβόλου τῆς πίστεως, καὶ τὴν κοινὴν τοῦ θείου μυστηρίου διαδοχήν.

Τὰς θύρας τὰς θύρας ἐν σοφίᾳ. Τὰς ἐνθυμήσεις τῶν δια

τοιῶν ἡμῶν ἄρωμεν ἀπὸ τῶν γηΐνων ἔργων καὶ ἐνθυμημάτων.

Προσέχωμεν ἐν τῇ σοφίᾳ, ἤγουν ἐν τῷ υἱῷ καὶ λόγῳ τοῦ θεοῦ, καὶ εἰς τὴν σοφίαν τοῦ θείου συμβόλου, τοῦ παρὰ τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἐκτεθέντος, ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ προσέξωμεν. τουτέστι, τοῦ Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα. καὶ ἑκόντες καὶ συνιέντες μετ' ἠρέμου νοὸς προσέλθωμεν, τῇ μυστικῇ ζωοθυσίᾳ.

Τὸ θεῖον τῆς ὀρθοδόξου πίστεως σύμβολον λέγεσθαι διατέτακται, ἵν' ἐκ τούτου γνώριμον εἴη τοῖς πᾶσιν, ὅτι ὁ εἷς τῆς ἁγίας τριάδος ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ προανάρχου πατρὸς, οὗτος διὰ τὴν ἡμετέραν σωτηρίαν ἄνθρωπος γέγονεν. σαρκωθεὶς ἐκ τῆς ἁγίας παρθένου, σταυρωθεὶς, καὶ ταφεὶς, καὶ ἀναστάς. οὗ κατὰ τὰς θείας ἐντολὰς, τὰ τελούμενα ταῦτα πράττομεν. ἵνα μὴ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις εἰσαεὶ τῆς σωτηρίας ἡμῶν ἐνδεικνυμένης, οὕτω φαινώμεθα ζῶντες ὁμοῦ καὶ πολιτευόμενοι. καὶ τὰ μὲν πάθη, σαρκὶ τοῦτον ὑπομεμενηκέναι ὁμολογοῦμεν. ἀπαθῆ δὲ τούτου φυλάττεσθαι τὴν θεότητα. ἅμα δὲ ἵνα τῇ ἐκφωνήσει τοῦ θείου τοῦδε συμβόλου, καὶ οἱ ἀγνῶτες καὶ ἀμαθεῖς, τούτου ἀκούοντες ᾀδομένου, διαπαντὸς ἐν γνώσει ἔχωσι τὰ ἔκφορα τοῦ μυστηρίου τῆς πίστεως, καὶ ταῖς τῶν πολλῶν ἀκοαῖς οὐκ ἀπόρρητα.

Ἡ δὲ τῶν θυρῶν κλεῖσις, καὶ ἡ ἐπάνωθεν τούτων ἐξάπλωσις τοῦ καταπετάσματος, ὡς οἱ ἐν τοῖς μοναστηρίοις εἰώθασι, καὶ ἡ διὰ τοῦ λεγομένου ἀέρος τῶν θείων ἐπικάλυψις, ὡς οἶμαι τὴν νύκτα ἐκείνην δηλοῖ, καθ' ἣν ἡ τοῦ μαθητοῦ προδοσία προέβη, καὶ ἡ πρὸς Καϊάφαν ἀπαγωγὴ, καὶ ἡ πρὸς Ἄνναν παράστασις, καὶ αἱ ψευδομαρτυρίαι. ναὶ μὴν καὶ οἱ ἐμπαιγμοὶ, καὶ οἱ κολαφισμοὶ, καὶ τἆλλα ὅσα τότηνικαῦτα συμβέβηκε. διατί ἄλλο γὰρ τὸ κάλυμμα τοῦτο ἀὴρ ὠνομάσθη; ἢ πάντως διὰ τὸν ἐπικαλυπτόμενον παρ' αὐτοῦ σκοτεινὸν ἀέρα, τῆς εἰρημένης νυκτὸς εἰκονίζεσθαι. καθ' ἣν καὶ Πέτρος ὁ μέγας ἔξω τῆς θύρας

ἔσως, πρεσβείᾳ τοῦ ἐγνωσμένου τῷ ἀρχιερεῖ μαθητοῦ, ἔνδον ἐγένετο τῆς αὐλῆς, ἔνθα καὶ ἡ παιδίσκη τούτῳ ἐντυχοῦσα, καὶ οἱ πρὸς τῇ πυρᾷ παρεστῶτες, ἰδόντες, διήλεγχον. καὶ τὰ λοιπὰ τούτῳ ἐπηκολούθησαν, ὅσα πρὸς τὸν κρημνὸν τῆς ἀρνήσεως κατήπειγον. διὰ δὲ πτῶμα συγχωρηθέντα, ἢ ἥττονα γενέσθαι τῆς ἐπάρσεως, ἢ τῆς καυχήσεως.

Αἰρομένου δὲ τοῦ ἀέρος, καὶ τοῦ καταπετάσματος συστελλομένου τῶν θυρῶν τε ἀνοιγομένων, ἡ πρωΐα διατυποῦται. καθ᾽ ἣν ἀπήγαγον αὐτὸν, καὶ παρέδωκαν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι.

Πρόσεισιν ὁ ἱερεὺς, συνέρχεται ταῖς ἀγγελικαῖς δυνάμεσιν, οὐκέτι ὡς ἐν ἐπιγείῳ τόπῳ ἑστώς. ἀλλ᾽ ὡς ἐν τῷ ἐπουρανίῳ θυσιαστηρίῳ. ἔμπροσθεν τοῦ φοβεροῦ θυσιαστηρίου τοῦ θρόνου τοῦ θεοῦ παριστάμενος, θεωρεῖ δὲ μέγα καὶ ἀνερμήνευτον καὶ ἀνεξιχνίαστον τοῦ χριστοῦ μυστήριον.

Ὁμολογεῖ τὴν χάριν. κηρύττει τὴν ἀνάστασιν, σφραγίζει τὴν πίστιν τῆς ἁγίας τριάδος. πρόσεισι λευχειμονῶν ὁ ἄγγελος, τὸν λίθον τοῦ τάφου ἀποκυλίων τῇ χειρί. δεικνύων τῷ σχήματι, βοῶν τῇ φωνῇ ἐνδόμῳ, καὶ διὰ τοῦ διακόνου κηρύττων, τὴν τριήμερον ἔγερσιν, καὶ ὑψῶν δὲ καταπέτασμα, φωνεῖ ὁ διάκονος λέγων. Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου. Ἰδοὺ πρώτη ἡμέρα.

Πρόσχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ. Ἰδοὺ δευτέρα ἡμέρα.

Ἐν εἰρήνῃ προσφέροντες. Ἰδοὺ τρίτη ἡμέρα. Καὶ ἄλλως.

Στῶμεν καλῶς. Τὰς διανοίας ἡμῶν στερεωμένας ἔχοντες, ἀκούσωμεν τῆς μυστικῆς ζωοθυσίας.

Ὁ λαὸς βοᾷ τὴν τῆς ἀναστάσεως τοῦ χριστοῦ χάριν. Ἔλεον εἰρήνην θυσίαν αἰνέσεως.

Ὁ δὲ ἱερεὺς διδάσκει τὸν λαὸν, ἣν διὰ τῆς χάριτος τοῦ χριστοῦ μεμάθηκε τριαδικὴν θεογνωσίαν. Ἡ χάρις τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, εἴη μετὰ πάντων ἡμῶν.

Ἄλλοι δὲ ἱερεῖς προσφέρουσιν οὕτως. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινω-

νία τοῦ ἁγίου πνεύματος, εἴη μετὰ πάντων ἡμῶν.

Ὁ λαὸς συνομολογεῖ, καὶ συνεύχεται λέγων, καὶ μετὰ τοῦ πνεύματός σου, ὡς ἀνωτέρω ἔφημεν, οὕτω πράξωμεν. Ἢ οὕτως.

Ἐὰν πράξωμεν ὡς ἀνωτέρω ἔφημεν, ἡ χάρις καὶ ἡ ἀγάπη τοῦ θεοῦ μετὰ πάντων ἡμῶν. αὐτὸς γὰρ διὰ τὴν ἀγάπην αὐτοῦ, ἣν εἰς ἡμᾶς ἐνεδείξατο, τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἀπέστειλε, καὶ τὸ σῶμα αὐτοῦ ἱλασμὸν εἰς τὴν ζωοθυσίαν δέδωκε, καὶ τὸ αἷμα αὐτοῦ, τὸ ῥύσιον ποτήριον εὐφροσύνης. Εἶτα πάντας ὁ ἱερεὺς ἀναβιβάζων εἰς τὴν ἄνω ἱερουσαλὴμ τὴν ἐπουράνιον, ἐν ᾗ ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν πρὸ τῆς ἐκπτώσεως, ἐν ταῖς αὐλαῖς σου ἱερουσαλήμ, εἰς τὸ ὄρος τὸ ἅγιον αὐτοῦ, βοᾷ, βλέπετε. Ἄνω σχῶμεν τὰς καρδίας. Οἱ πάντες διαμαρτύρονται λέγοντες, Ἔχομεν πρὸς τὸν κύριον. Ὁ ἱερεύς.

Εὐχαριστήσωμεν τῷ κυρίῳ. Βλέπετε, ἄνω σχῶμεν τὰς καρδίας, ἀπὸ τῶν γηΐνων ἄρωμεν τὰς αἰσθήσεις εἰς τὸν ἄνω βασιλέα, καὶ τὰ αὐτοῦ ἀρεστὰ πράξωμεν.

Εὐχαριστήσωμεν τῷ κυρίῳ, ἤγουν τῷ δόντι ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν καὶ ἀντάλλαγμα. Εὐχαριστήριον ὕμνον ἀπονείμωμεν τῷ κυρίῳ, καὶ τὴν ἐφ' ἧς ἐσώθημεν ῥοπήν, εὐχαριστίαν καὶ δόξαν ἀπονείμωμεν τῷ κυρίῳ. Ὅτι ἄξιον καὶ δίκαιόν ἐστι φησὶν ὁ λαός.

Τὸ καταπέτασμα λέγεται διὰ τὸν λέγοντα ἀπόστολον, Ὅτι ἔχομεν παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ Χριστοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν σωτηρίας, καὶ πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος, τουτέστι τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερεὺς μέγας ἐπὶ τὸν οἶκον τοῦ θεοῦ.

Εἶτα πρόεισιν ὁ ἱερεὺς μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος τοῦ θεοῦ, μετὰ ἀληθινῆς καρδίας, ἐν πληροφορίᾳ πίστεως, ἀπαγγέλλων τῷ θεῷ καὶ συλλαλῶν μόνος αὐτῷ, οὐκέτι διὰ νεφέλης, ὡς ποτὲ Μωυσῆς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἀλλ' ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν ἣν κατοπτεύων, καὶ μεμύηται τὴν τῆς ἁγίας τριάδος θεο

γνωσίαν καὶ πίστιν, καὶ μόνος μόνῳ προσλαλεῖ θεῷ μυστικά, μυστήρια ἀπαγγέλλων ἐν μυστηρίοις, τὰ κεκρυμμένα πρὸ τῶν αἰώνων καὶ ἀπὸ γενεῶν, νῦν δὲ φανερωθέντα ἡμῖν διὰ τῆς ἐπιφανείας τοῦ υἱοῦ τοῦ θεοῦ, ἅπερ ἡμῖν ἐξηγήσατο ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς. καθὼς γὰρ ἐλάλησεν ὁ θεὸς τῷ μωυσῇ ἀοράτως, καὶ ὁ μωυσῆς πρὸς τὸν θεὸν, οὕτω καὶ ὁ ἱερεὺς, μέσον τῶν δύο χερουβὶμ ἑστὼς ἐν τῷ ἱλαστηρίῳ, καὶ κατακύπτων διὰ τὴν ἄρρητον καὶ ἀθεώρητον τῆς θεότητος δόξαν τε καὶ λαμπρότητα, τὴν οὐράνιον λατρείαν νοερῶς ὁρᾷ, καὶ μυεῖται τῆς ζωαρχικῆς καὶ μοναρχικῆς ὑπερουσίου τριάδος τὴν θείαν ἔλλαμψιν. τοῦ μὲν θεοῦ καὶ πατρὸς, τὸ ἄναρχον καὶ ἀγέννητον, τοῦ δὲ υἱοῦ καὶ λόγου τὸ συνάναρχον καὶ ὁμοούσιον, καὶ γεννητόν. τοῦ δὲ ἁγίου πνεύματος τὸ συναΐδιον καὶ ὁμοφυὲς καὶ ἐκπορευτόν. τριάδα ἁγίαν κατὰ τὴν τῶν ὑποστάσεων ἤτουν προσώπων ἀσύγχυτον ἀϊδιότητα. κατὰ δὲ τὴν τῆς φύσεως ἕνωσιν, ἀδιαίρετον καὶ ἀδιάστατον μίαν θεότητα, καὶ βασιλείαν καὶ δόξαν. Καὶ νοερῶς ὁρᾷ καὶ βοᾷ τὴν τῶν σεραφικῶν δυνάμεων τρισάγιον δοξολογίαν τῶν μὲν χερουβὶμ ἐπισκιαζόντων, καὶ τῶν σεραφὶμ κεκραγότων, μεθ' ὧν βοᾷ.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα. Εἶτα ὁ λαὸς, ἀντὶ τῶν χερουβικῶν δυνάμεων καὶ τετραμόρφων ζώων βοᾷ. Ἅγιος, ἅγιος, ἅγιος κύριος σαβαώθ. τουτέστιν ὁ τρισάγιος καὶ εἷς θεὸς τῶν δυνάμεων. ὡσαννὰ ἐν τοῖς ὑψίστοις εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Ὡσαννά ἐστι σῶσον δή, ὡς φησὶν ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα. Ἄδοντά ἐστιν ὁ ἀετός. βοῶντα ἐστὶν ὁ βοῦς. Κεκραγότα, ὁ λέων. καὶ λέγοντα, ἄνθρωπος. Λογικὸς λαὸς ἀντὶ τῶν χερουβικῶν δυνάμεων, καὶ τὰ τετράμορφα ζῶα βοᾷ. ἅγιος, ἅγιος, ἅγιος, τουτέστιν ὁ τρισάγιος καὶ εἷς θεὸς τῶν δυνάμεων. ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαώθ. ἅγιος μὲν ὁ πατὴρ, ὡς κυρίως ἅγιος καὶ μακάριος. ἐκείνη γὰρ καὶ μόνη μακαρία φύσις ἡ τοῦ θεοῦ. ἅγιος ὁ υἱὸς, ὡς λόγος

θεοῦ καὶ

θεοῦ καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, καὶ ἐκμαγεῖον τοῦ ἀρχετύπου καὶ σφραγὶς ἀκίνητος, καὶ ἀναλλοίωτος φύσις. υἱὸς μὲν ὡς ἐξ αὐτοῦ, ἤγουν ἐκ τοῦ πρς, γεννηθεὶς ἀπαθῶς ὡς λόγος ἐκ νοῦ, καὶ ὡς δι᾽ αὐτοῦ γεγενῆσθαι τὰ πάντα, τὰ περατὰ καὶ τὰ ἀόρατα, κατὰ τὸν ἀπόστολον. τῷ γὰρ λόγῳ κυ οἱ οὐρανοὶ ἐστερεώθησαν ὡς φησὶν ὁ Δαδ. ἅγιος δὲ καὶ τὸ πνα τὸ ἅγιον τὸ ἐκ τοῦ πρς ἐκπορευόμενον, καὶ ἐν υἱῷ ἀναπαυόμενον, καὶ ἁγιάζον τὰ πάντα. καὶ τελεσιουργὸν, μὴ τελειούμενον. ἁγιάζον, οὐχ ἁγιαζόμενον. ὥσπερ γὰρ ὁ ἥλιος, πηγὴ καὶ αἰτία, τῆς τε ἀκτῖνος καὶ τῆς ἐλλάμψεως ὤν, διὰ δὲ τῆς ἀκτῖνος ἡμῖν ἡ ἔλλαμψις μεταδίδοται, καὶ αὕτη ἐστὶν ἡ φωτίζουσα ἡμᾶς, καὶ μετεχομένη ὑφ᾽ ἡμῶν, οὕτω δὴ καὶ ὁ θς καὶ πατὴρ, πηγὴ οὖσα καὶ αἰτία υἱοῦ καὶ ἁγίου πνς, τὸ δὲ πνεῦμα ἐκ πατρὸς ἐκπορευόμενον δι᾽ υἱοῦ διαδίδοται καὶ πεφανέρωται. τὸ δὲ εἰπεῖν κς, ἑνοῖ τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ πνα τὸ ἅγιον, καὶ ἓν τὰ τρία δείκνυσιν.

Τρίτον ἅγιος τὰ σεραφὶμ λέγουσι, πληροῦντα τὴν δοξολογίαν εἰς τὸν κς σαβαώθ, ἑνιαίαν φύσιν τιθέντα, τὴν ἁγίαν τριάδα, ὡς καὶ ὑπ᾽ αὐτῶν ἡμῖν μεμαρτύρηται τῶν ἁγίων σεραφὶμ, ἡμεῖς δὲ οἱ πιστοὶ τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνα, ἐν ᾧ τὴν τελειότητα ἐλάβομεν, σὺν ἀγγέλοις ἀσιγήτως θεολογοῦμεν δοξάζοντες. τοῦτο γὰρ ταῖς ὑποστάσεσι τριάς. εἷς δὲ ὁ θς, ᾧ καὶ ψάλλομεν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυ, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. τὸ ἑβραϊκὸν οὕτω κεῖται ὡσαννὰ, ἀδωναῒ, ἀσδινὰ βαρούχ, πὴρ, ἀββὰθ, σεμνὰ, δενίαν, σαβαώθ. Ὁ θεὸς τῶν δυνάμεων. ὁ θελήσας τυθῆναι τὸν μόσχον τὸν σιτευτὸν, καὶ μόσχος ὁ ἀεὶ θυόμενος ἑκὼν, καὶ ἀεὶ ζῶν, ὁ τελεσιουργῶν τὴν μυστικὴν θυσίαν, καὶ ἀεὶ ἐπιφοιτῶν διὰ τοῦ βαπτίσματος. ἅγιος εἶ βασιλεῦ τῶν αἰώνων, καὶ πάσης ἁγιωσύνης δοτήρ. σὺ εἶ ὁ παντοκράτωρ. ὁ σφραγίζων τὰ ἅγια δῶρα. ἅγιος δὲ καὶ ὁ μονογενὴς σου υἱὸς ὁ κς ἡμῶν Ις Χς, ὁ πρὸ τῶν αἰώνων ἐκ σοῦ ἀρρήτως γεννηθείς. ἅγιος δὲ τὸ πνεῦμά σου τὸ πανάγιον, τὸ ἐρευνῶν

τὰ πάντα καὶ τὰ ἔθνη σου τοῦ Θεοῦ. δι' οὗ ἅπαντα τὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἀπάρξεται. τὰ δὲ ῥιπίδια καὶ οἱ διάκονοι, ἐμφαίνουσι τὰ ἑξαπτέρυγα σεραφίμ, καὶ τὴν τῶν πολυομμάτων χερουβὶμ ἐμφέρειαν, καὶ τὴν κατὰ τὴν τῶν ὑπερκοσμίων καὶ ἐπουρανίων ὑπερκόσμιον καὶ νοερὰν τάξιν, οὕτω καὶ τὰ ἐπίγεια μιμοῦνται. καὶ γὰρ τὰ τετράμορφα ζῶα, ἀντιφωνητικῶς ἀλλήλοις ἀντιδεχόμενα, βοῶσι. τὸ μὲν πρῶτον ζῶον τὸ εἰς ὁμοίωμα λέοντος βοᾷ, ἅγιος. τὸ δὲ δεύτερον, τὸ εἰς ὁμοίωμα μόσχου, βοᾷ, ἅγιος, τὸ δὲ τρίτον, τὸ εἰς ὁμοίωμα ἀετοῦ, βοᾷ ἅγιος. τὸ δὲ τέταρτον, τὸ εἰς ὁμοίωμα ἀνθρώπου, βοᾷ, κύριος σαβαώθ. ἐν τρισὶν ἁγιασμοῖς, εἰς μίαν θεότητα συνιοῦσι κυριότητα καὶ δύναμιν, καθὼς ὁ προφήτης λέγει [?], ὅτι εἶδε τὸν κύριον ἐπὶ θρόνου καθήμενον ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰς σεραφικὰς δυνάμεις κύκλῳ ἑστώσας, καὶ ἐκ τῆς φωνῆς ἐπλήσθη ὁ οἶκος καπνοῦ. τὸ δὲ ἀπεστάλη ἓν τῶν σεραφίμ, καὶ εἶχεν ἄνθρακα ἐν τῇ χειρὶ, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, σημαίνει τὸν ἱερέα τὸν κατέχοντα τὸν νοερὸν ἄνθρακα Χριστὸν τῇ λαβίδι τῆς χειρὸς αὐτοῦ ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ, καὶ ἁγιάζοντα καὶ καθαίροντα τοὺς προσδεχομένους καὶ μεταλαμβάνοντας. καὶ γὰρ εἰς τὰ οὐράνια καὶ ἀχειροποίητα καὶ ἅπαξ εἰσῆλθεν ὁ Χριστὸς, καὶ ἐνεφανίσθη ἐν δόξῃ τῷ τοῦ Θεοῦ καὶ πατρὸς προσώπῳ. ὑπὲρ ἡμῶν θυόμενος ἀρχιερεὺς μέγας, διεληλυθὼς τοὺς οὐρανούς. καὶ ἔχομεν αὐτὸν παράκλητον πρὸς τὸν πατέρα, καὶ ἱλασμὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὡς καταρτισάμενος ἡμῖν τὸ ἅγιον καὶ (συναΐδιον) αὐτοῦ σῶμα, καὶ τὸ τίμιον αἷμα, λύτρον ὑπὲρ πάντων ἡμῶν, καθὼς ὁ αὐτὸς λέγει. πάτερ ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ. καὶ θέλω ἵνα ὅπου ἐγὼ εἰμὶ, καὶ οὗτοι ὦσι, καὶ θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ὅτι ἠγάπησα αὐτοὺς, καθὼς ἠγάπησας ἐμὲ πρὸ καταβολῆς κόσμου. Αὐτὸς εἶπε τοῦτό ἐστι τὸ σῶμά μου, τοῦτο τὸ αἷμά μου. Αὐτὸς καὶ τοῖς ἀποστόλοις ἐκέλευσε, καὶ δι' ἐκείνων ἁπάσῃ τῇ ἐκκλησίᾳ, τοῦτο ποιεῖν.

τοῦτο γάρ φησι ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. οὐκ ἂν ἐκέλευσε τοῦτο ποιεῖν, εἰ μὴ δύναμιν ἐνθήσειν ἔμελλεν, ὥστε δύνασθαι τοῦτο ποιεῖν. καὶ τίς ἡ δύναμις; τὸ πνεῦμα τὸ ἅγιον, ἡ ἐξ ὕψους τοὺς ἀποστόλους ὁπλίσασα, κατὰ τὸ εἰρημένον πρὸς αὐτοὺς ὑπὸ τοῦ κυρίου. καθίσατε ἐν τῇ πόλει ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. τοῦτο δὲ ἔργον ἐκείνης τῆς καθόδου. οὐ γὰρ κατελθὸν ἅπαξ, εἶτα ἀπολέλοιπεν ἡμᾶς, ἀλλὰ μεθ' ἡμῶν ἐστὶ, καὶ ἔσται μέχρι παντὸς εἰς τὸν αἰῶνα. τοῦτο διὰ τῆς χειρὸς τῶν ἱερέων καὶ τῆς γλώττης τὰ μυστήρια τελεσιουργεῖ. καὶ οὐ τὸν ἅπαξ μόνον ἔπεμψεν ὁ κύριος ἡμῶν, ὥστε μένειν μεθ' ἡμῶν, ἀλλὰ καὶ αὐτὸς ἐπηγγείλατο μένειν μεθ' ἡμῶν, ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἀλλ' ὁ μὲν παράκλητος ἀοράτως πάρεστιν, ὅτι σῶμα αὐτὸς οὐκ ἐφόρεσεν. ὁ δὲ κύριος καὶ ὁρᾶται, καὶ ἁφῆς ἀνέχεται διὰ τῶν φρικτῶν καὶ ἱερῶν μυστηρίων, ὡς ἂν τὴν ἡμετέραν φύσιν δεξάμενος, καὶ φέρων εἰς τοὺς αἰῶνας. αὕτη ἡ τῆς ἱερωσύνης δύναμις. οὗτος ὁ ἱερεύς, οὐ γὰρ ἅπαξ ἑαυτὸν προσαγαγὼν καὶ θύσας, ἐπαύσατο τῆς ἱερωσύνης, ἀλλὰ διηνεκεῖ ταύτῃ λειτουργεῖ τὴν λειτουργίαν ἡμῶν, καθ' ἣν καὶ παράκλητός ἐστιν ὑπὲρ ἡμῶν πρὸς τὸν θεὸν δι' αἰῶνος. οὗ χάριν εἴρηται πρὸς αὐτόν. σὺ ἱερεὺς εἰς τὸν αἰῶνα. διὰ τοῦτο οὐδὲ μία τοῖς πιστοῖς περὶ τοῦ ἁγιασμοῦ τῶν δώρων ἀμφιβολία, οὐδὲ περὶ τῶν ἄλλων τελετῶν, εἰ κατὰ τὴν πρόθεσιν καὶ τὰς εὐχὰς τῶν ἱερέων ἀποπληροῦνται.

Τί δ' αὖθις εἴποι περὶ τῶν θείων ῥιπιδίων ἐγκεχειρισμένων τοῖς διακόνοις, καὶ ὑπ' αὐτῶν στρεφομένων αἰφνιδίως ὡς ἐν ἐκπλήξει, ἄχρι τῆς θεολέκτου προσευχῆς, τολμηρὸν μὲν οὖν τὸ περὶ τούτων φθέγγεσθαί τι. ἐπεὶ δ' ἅπαξ ὑπείξαμεν τῇ ἐντολῇ τοῦ κελεύσματος, φέρε καὶ περὶ τούτων εἴπωμεν, ὅσα δοίη θεὸς, εἰ μὲν καὶ τοῖς ἄλλοις δεκτὰ, τῷ θεῷ χάρις, οὐ γὰρ πάντη ψεκτὰ εὖ οἶδα, οὐδ' ἔξω τῶν δογμάτων, τῆς τῶν χριστιανῶν ὀρθοδόξου πίστεως. φαμὲν οὖν ὡς πάντοτε μὲν ἀθεάτως συμπαρῆσαν καὶ δυνάμεις οὐράνιοι τῷ δε-

ἀπὸ τῷ Χριστῷ. ἐξαιρέτως δὲ, ἐν τῇ νυκτὶ ταύτῃ ᾗ παρεδόθη. αὗται τοίνυν ὁρῶσαι τὴν πρὸς Καϊάφαν ἀπαγωγὴν, τὴν πρὸς Πιλάτον παράστασιν, τὰς ψευδομαρτυρίας, τὰ ῥαπίσματα, τὰ ἐμπτύσματα, τὰ κολαφίσματα, τὴν χλαῖναν ἐκείνην τῶν Ἰουδαίων, τὸ τῶν στρατιωτῶν τοῦ κοκκίνου ἔνδυμα, τὸν ἐξ ἀκανθῶν στέφανον, τὰς μετὰ γέλωτος προσκυνήσεις, τἆλλα πάντα, ὅσα τε ἡ τῶν θείων εὐαγγελίων ἱστορεῖ διήγησις, καὶ ὅσα διὰ τὸ πλῆθος ἴσως παρέλειψεν, ἐφ' ἑκάστῳ τῶν γινομένων διαποροῦσαι, καὶ ἐκπληττόμεναι τῆς μακροθυμίας τὸ μέγεθος, καλύπτουσαι τὰς ἑαυτῶν ὄψεις ἀπεστρέφοντο, καὶ πάλιν τὴν δεσποτείαν αἰδούμεναι, ἀνθυπέστρεφον. τοῦτο δὲ ἐποίουν, ἄχρι τῆς ἐπὶ σταυροῦ ἀνυψώσεως. τέλος γὰρ τῶν τοῦ σώματος παθῶν, καὶ τῆς ἐπὶ τούτοις αἰσχύνης, ὁ σταυρὸς γέγονεν, ὃς δόξα μᾶλλον καὶ οὐκ αἰσχύνη. ἀρχὴ δὲ οὗτος τῶν ἐνδόξων καὶ δυνάμεων τῆς θεότητος. ἐντεῦθεν γὰρ ὁ κοσμικὸς ἐκεῖνος σεισμὸς, τὸ τρίωρον σκότος ἐπὶ πᾶσαν τὴν γῆν, ἥ τε τοῦ καταπετάσματος καὶ τῶν πετρῶν διάρρηξις, καὶ ἡ τῶν μνημάτων ἄνοιξις. ἔτι γε μὴν καὶ ἡ τῶν νεκρῶν ἐξανάστασις. καὶ ὅσα ἐν ᾅδου κατελθὼν ὁ σωτὴρ εἰργάσατο. καὶ διὰ τοῦτο παρ' αὐτῷ τῷ τόπῳ τῆς σταυρώσεως θυομένῳ τῷ Χριστῷ, τὰ ἐκπλήξεως καὶ τοῦ θαύματος εἴδη αἱ θεῖαι δυνάμεις ἀπέθεντο. κἀντεῦθεν δῆλον, ὡς τὰ πρὸ τοῦ σταυροῦ πάντα ὀνείδη, καὶ αἱ χλευασίαι καὶ τιμαὶ, καὶ οἱ καταγέλωτες, πλεῖον ἢ πλοῦτον τοῦ πάσχοντος, ὥσπερ καὶ τῶν νοερῶν θείων δυνάμεων.

Εἶτα πάλιν ὁ ἱερεὺς ἀπαγγέλλει τῷ θεῷ καὶ πατρὶ, τὰ τῆς Χριστοῦ ἐνανθρωπήσεως μυστήρια, τὴν ἐξ ἁγίας παρθένου καὶ θεοτόκου ἀνέκφραστον γέννησιν, τὴν ἀναστροφὴν καὶ ἐμπολίτευσιν τὴν ἐν τῷ κόσμῳ, τὸν σταυρὸν, τὸν θάνατον, τὴν ἐν τῷ ᾅδῃ αὐτοῦ κατάβασιν, τὴν τῶν δεσμίων δι' αὐτοῦ ἐλευθερίαν, τὴν ἐκ νεκρῶν τριήμερον καὶ ἁγίαν ἀνάστασιν, τὴν ἐν τοῖς οὐρανοῖς ἀνάληψιν, τὴν ἐκ δεξιῶν τοῦ θεοῦ καὶ πατρὸς καθέδραν, τὴν δευτέραν καὶ μέλλουσαν αὐτοῦ ἔνδοξον παρουσίαν πάλιν τὴν πρὸς ἡμᾶς. Καὶ πάλιν μυσταγωγεῖται θεὸν ἀγέννητον, τουτέστι

θεὸν καὶ πατέρα, καὶ γαστέρα πρὸ ἑωσφόρου, καὶ πρὸ αἰώνων τὸν υἱὸν γεννῶσαν, καθὼς λέγει. ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεγέννηκά σε. καὶ παρακαλεῖ πάλιν τελειῶσαι τὸ μυστήριον τοῦ υἱοῦ αὐτοῦ, καὶ γεννηθῆναι ἤτοι μεταποιηθῆναι αὐτὸν τὸν ἄρτον καὶ τὸν οἶνον, εἰς σῶμα καὶ αἷμα τοῦ χριστοῦ καὶ θεοῦ, καὶ πληρωθήσεται τὸ ἐγὼ σήμερον γεγέννηκά σε. ὅθεν καὶ τὸ ἅγιον πνεῦμα τῇ εὐδοκίᾳ τοῦ πατρὸς, καὶ βουλήσει τοῦ υἱοῦ ἀοράτως παρὸν, ὑποδεικνύει τὴν θείαν ἐνέργειαν, καὶ τῇ χειρὶ τοῦ ἱερέως ἐπισφραγίζει, καὶ μεταβάλλει καὶ τελειοῖ τὰ προκείμενα ἅγια δῶρα εἰς σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰπόντος. Ὅτι ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι, ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. ὅθεν γενόμενοι θείων μυστηρίων αὐτόπται, καὶ μέτοχοι ζωῆς ἀθανάτου, καὶ κοινωνοὶ θείας φύσεως, δοξάζομεν τὸ μέγα καὶ ἀκατάληπτον καὶ ἀνεξιχνίαστον μυστήριον τῆς οἰκονομίας τοῦ υἱοῦ τοῦ θεοῦ. δοξάζοντες δὲ βοῶμεν.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες. Τοῦ σώματος καὶ αἵματος τοῦ εἰπόντος τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὅ ἐστιν ἃ ἡμῖν διὰ τῶν ἁγίων σου ἀποστόλων παρέδωκας, ταῦτά σοι προσφέρομεν διὰ τὴν ἡμῶν σωτηρίαν. Ὁ λαός. Σὲ ὑμνοῦμεν, τὸν θεὸν καὶ πατέρα. σὲ εὐλογοῦμεν, τὸν υἱὸν καὶ λόγον. σοὶ εὐχαριστοῦμεν, τῷ ἁγίῳ πνεύματι. κύριε ὁ θεὸς ἡμῶν, τριὰς ἐν μονάδι, καὶ μονὰς ἐν τριάδι, ὁμοούσιε καὶ ἀδιαίρετε, παράδοξον ἔχουσα, καὶ τὴν διαίρεσιν τῶν προσώπων, καὶ τὴν ἕνωσιν τῆς μιᾶς φύσεως τῆς θεότητος, καὶ γὰρ τὸ ἐπικεκυφότως ποιεῖν τὸν ἱερέα τὴν θείαν μυσταγωγίαν, ἐμφαίνει τὸ συλλαλεῖν ἀοράτως τῷ μόνῳ θεῷ. Ὅθεν καὶ τὴν θείαν φωτοφάνειαν ὁρᾷ, καὶ τῇ λαμπρότητι τῆς δόξης τοῦ προσώπου τοῦ υἱοῦ τοῦ θεοῦ, ἐμφαιδρύνεται καὶ ὑποστέλλει ἑαυτὸν τῷ φόβῳ καὶ τῇ αἰδοῖ. καθὼς μωυσῆς ὅτε εἶδε τὸν θεὸν ἐν εἴδει πυρὸς ἐν τῷ ὄρει, ἔντρομος γενόμενος, ἀπέστρεψε καὶ ἐκάλυψε τὸ πρόσωπον αὐτοῦ. εὐλαβεῖτο γὰρ κατανοῆσαι ἀπὸ τῆς δόξης τοῦ θεοῦ τὸ πρόσωπον.

Ἐξαιρέτως τῆς παναγίας ἀχράντου. Χρὴ ἡμᾶς τὴν κυρίαν τοῦ παντὸς ἐπαινεῖν, καὶ τὸ χαῖρε τοῦ ἀγγέλου ἐκφωνεῖν.

Τὰ σὰ ἐκ τῶν σῶν. Ὁ θεὸς κατ' εἰκόνα αὐτοῦ ἔπλασεν ἡμᾶς, ὅ ἐστι κατὰ τὸ ὅσιον καὶ δίκαιον καὶ δυνατόν. παραβάντες δὲ, δοῦλοι γεγόναμεν φαραὼ τοῦ πικροῦ δεσπότου. ἐλθὼν δὲ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἐξηγόρασεν ἡμᾶς ἰδίῳ αἵματι, καὶ ἐνέδυσεν ἡμᾶς τὸν νέον ἄνθρωπον. καὶ τὸ τίμιον αὐτοῦ σῶμα καὶ αἷμα ἡμῖν δέδωκεν εἰπών. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ἡμεῖς δὲ μεμνημένοι τῆς αὐτῆς ἐντολῆς, τὰ ἀντίτυπα προσφέρομεν λέγοντες.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ, καὶ τὰ ἑξῆς. νοητῶς, ὅ ἐστι τὸ ἀρχέτυπον ἡμῶν ἀξίωμα, δηλαδὴ τὸ κατ' εἰκόνα, ὅ ἐστι τὸ δίκαιον τὸ ὅσιον καὶ τὸ δυνατόν. δίκαιον μὲν, μήτε ἀδικεῖσθαι, μήτε ἀδικεῖν. ὅσιον δὲ, τῶν ἀδικουμένων ἀνέχεσθαι, καὶ συγχωρεῖν τοῖς ἀδικοῦσι, μᾶλλον δὲ καὶ εὐεργετεῖν αὐτούς. κατὰ πάντα δὲ δεῖ ὑμνεῖν αὐτὸν ὡς θεὸν καὶ κύριον τοῦ παντός.

Τὸ δὲ σφραγίσαι τὰ θεῖα δῶρα, ἵνα τῇ ἐπιφοιτήσει καὶ ἐνδόξῳ παρουσίᾳ τοῦ ἁγίου πνεύματος, μεταβάλῃ καὶ ποιήσῃ, τὸν μὲν ἄρτον, αὐτὸ τὸ τίμιον σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. τὸ δὲ ἐν τῷ ποτηρίῳ, αὐτὸ τὸ τίμιον αἷμα τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας. καὶ ἵνα τοῖς μεταλαμβάνουσιν ἐξ αὐτοῦ, γένηται εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Τὸ δὲ ἐξαιρέτως, τουτέστιν ὦ μῆτερ ἁγνὴ τοὺς ἀφεγγεῖς τύπους καὶ τὰς παρελθούσας σκιὰς τοῦ λόγου θεασάμενοι, καὶ τὰ ἐν τούτοις, κεκλεισμένης πύλης, φῶς τῆς ἀληθείας ἀναλάμψαν, δοξάζομεν. σὴν δὲ γαστέρα ἐπαξίως εὐλογοῦμεν. Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει. Ὁ λαός. καὶ πάντων καὶ πασῶν.

Ἐντέλλεται ὁ ἱερεὺς τῷ λαῷ, μνημονεύειν τὰς τῶν διανοιῶν ὀργὰς, ἐν τῷ καιρῷ τῆς θείας μυσταγωγίας, καὶ ἀπορρίψαι αὐτὰς ἐκ πάντων καὶ πασῶν τῶν μισούντων ἡμᾶς.

Γίνεται δὲ καὶ μνήμη πρὸς τὸν θεὸν ὑπὲρ τῶν κεκοιμημένων, καὶ πνεύματος καὶ πάσης σαρκὸς, ὡς νεκρῶν καὶ ζώντων τὴν ἐξου

σίαν ἔχοντα, καὶ διασώζοντα ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. καὶ ὡς τοῦ βασιλέως Χριστοῦ παρόντος, καὶ ὡς τοῦ ἁγίου πνεύματος πάντας προσκαλουμένου, ζῶντάς τε καὶ μεταστάντας, πρὸς τὰς ἐκεῖσε μονὰς, καὶ καταπαύσεις, εἰς τὴν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ προέλευσιν, συναθροισθῆναι καὶ προφθάσαι τὸ πρόσωπον αὐτοῦ, καὶ ἀκουτισθῆναι τῶν φωνῶν τῆς αἰνέσεως αὐτοῦ. ὡς πασῶν τῶν ἐν ᾅδῃ ψυχῶν ἀπολυθεισῶν τῶν δεσμῶν, διὰ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως χριστοῦ, αὐτὸς γὰρ ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ καὶ πρωτότοκος γενόμενος τῶν κεκοιμημένων. καὶ πᾶσιν ὁδοποιήσας τὴν ἐκ νεκρῶν ἀνάστασιν. καὶ πρὸς τὴν ἀθάνατον καὶ μακαρίαν ζωὴν ἀναπαύων τοὺς ἐπ' ἐλπίδι τῆς ἀναστάσεως αὐτοῦ κοιμηθέντας. συγκαλοῦνται γὰρ πᾶσαι αἱ ψυχαὶ αὐτῶν μετὰ τῶν προφητῶν καὶ ἀποστόλων καὶ μαρτύρων συνεισελθεῖν καὶ ἀνακληθῆναι μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ἐν τῇ μυστικῇ τραπέζῃ τῆς βασιλείας χριστοῦ.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον. Δεόμεθά σου ὥσπερ ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ εἰς τὴν σὴν δοξολογίαν, οὕτω τοίνυν καὶ ἓν πνεῦμα, καὶ μίαν ψυχὴν δὸς ἡμῖν, ἵνα συναπτόμενοι τῷ τῆς ἀγάπης συνδέσμῳ, δυνησώμεθα μετὰ παρρησίας ἀπολαύειν τῆς προκειμένης τραπέζης, καὶ γενώμεθα ἄξιοι τῶν θείων μυστηρίων, δοξάζοντες καὶ ὑμνοῦντες τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν. Ἐὰν οὕτω πράξωμεν ὡς ἀνωτέρω ἔφημεν, τὰ ἐλέη τοῦ θεοῦ ἔσται μετὰ πάντων ἡμῶν.

Ἔλεος θεοῦ, ὁ χριστός ἐστιν, ὁ δι' ἡμᾶς καὶ διὰ τὸ ἐλεῆσαι ἡμᾶς, ἀπὸ τοῦ μεγάλου θεοῦ ἀποσταλείς. ὃς καὶ παρέδωκεν ἑαυτὸν δι' ἡμᾶς, καὶ ἠλέησεν. οἱ γὰρ εἰς ἑνότητα τῆς πίστεως καὶ κοινωνίαν τοῦ ἁγίου πνεύματος συνελθόντες, διὰ τῆς οἰκονομίας τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος, καὶ καθίσαντος ἐν δεξιᾷ τοῦ πατρὸς, οὐκ ἔτι ξένοι ἐσμὲν, ἀλλ' ἐν τῷ θρόνῳ τοῦ θεοῦ τῷ

βασιλικῷ παρεστήκαμεν ἐν τοῖς οὐρανοῖς, ὅπου ὁ χριστός
ἐστι καθὼς αὐτὸς λέγει. πάτερ δίκαιε ἁγίασον αὐτοὺς ἐν
τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι. ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀ-
κεῖνοι ὦσι μετ' ἐμοῦ, καὶ θεωρῶσι τὴν δόξαν ἣν δέδωκάς
μοι, ὅτι ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας. πάντες δὲ
οἱ τὴν υἱοθεσίαν ἀπολαβόντες, καὶ συγκληρονόμοι τοῦ χριστοῦ
γενόμενοι, διὰ τῆς χάριτος αὐτοῦ, καὶ οὐκ ἐξ ἔργων ἡμῶν,
ἔχομεν τὸ πνεῦμα τοῦ υἱοῦ τοῦ θεοῦ εἰς τὰς καρδίας ἡμῶν. οὗτι-
νος τὴν χάριν καὶ τὴν ἐνέργειαν θεωρῶν ὁ ἱδρὺς, βοᾷ καὶ
λέγει. ἀββᾶ ὁ πατὴρ ὁ οὐράνιος, ἀξίωσον ἡμᾶς ἀκατακρίτως
μετὰ παῤῥησίας τολμᾷν ἐπικαλεῖσθαί σε καὶ λέγειν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Ἀληθῶς πατὴρ πάντων
ἡμῶν ἐστι, καὶ πάντας τηρεῖ. καὶ εἰ μὲν τὸ θέλημα αὐτοῦ
πράττομεν, ἐστὶ πατὴρ ἡμῶν. εἰ δὲ μὴ, οὗτινος τὸ ἔργον ποιοῦ-
μεν, οὗτός ἐστι πατήρ. Καὶ ἄλλως. Πατέρα αὐτὸν καλεῖς, ὡς
τέκνον πολιτεύου, ἵνα εὐάρεστος αὐτῷ γένῃ τῷ πατρὶ τῷ ἐν τοῖς
οὐρανοῖς, τίς γὰρ τῷ κοσμοκράτορι τῶν κάτω συρομένων στρα-
τευόμενος, καὶ υἱοθετούμενος αὐτῷ διὰ τῶν πονηρῶν ἔργων,
τολμᾷ τὸν αἴτιον παντὸς ἀγαθοῦ κύριον, εἰπεῖν πατέρα;
δῆλον δὲ ὅτι οὗτος, οὐ τὸν κύριον σαβαὼθ καλεῖ πατέρα,
ἀλλὰ τὸν ἀντικείμενον, οὗ καὶ τὰ ἔργα πράττει. Ἄλλως.

Πατέρα λέγεις αὐτὸν τὸν θεὸν, καλῶς λέγεις. ἐστὶ γὰρ πατὴρ καὶ ποιητὴς
πάντων ἡμῶν. ἀλλὰ σπεῦδε ἐργάζεσθαι ἔργα ἀρέσκοντα τῷ
πατρί σου. εἰ δὲ κακὰ ἔργα ποιεῖς, πρόδηλον ὅτι τὸν διάβολον
ἐπικαλεῖς πατέρα. οὗτος γάρ ἐστιν ἔφορος τῶν κακῶν. διὸ σπεῦδε
ἐκφυγεῖν τοῦτον, καὶ ἀρέσαι τῷ ἀγαθῷ πατρί σου καὶ ποιητῇ σου.

Ἁγιασθήτω τὸ ὄνομά σου. Ὄνομά ἐστι τοῦ υἱοῦ τοῦ θεοῦ, τὸ ἐπι-
κληθὲν ἐφ' ἡμᾶς. χριστὸς γὰρ, καὶ ἡμεῖς χριστιανοὶ, καὶ τὸ ὄνομα αὐ-
τοῦ ἐπικέκληται ἡμῖν. ναὶ ἀληθῶς ἅγιος, ὁ θεὸς, ἀλλ' ἡμεῖς
παρακαλοῦμεν, ἵνα ἁγιάσῃ τὸ ὄνομα αὐτοῦ ἐν ἡμῖν. ὅ ἐστι
τὸ ἔργον ἡμῶν, ἁγιολόγιστον ἀποδείξῃ καὶ ὅλον καθαρὸν ποιήσῃ
τὸ σῶμα ἡμῶν, ἵνα ἀνέγκλητον εὑρεθῇ ἐν τῇ ἡμέρᾳ τῆς ἀπο-
λογίας. καὶ τί γὰρ οὐκ ἔστιν ἅγιος ὁ θεὸς; ναὶ ἅγιος, ἀλλὰ τοῦτο

λέγεις,

λέγεις, ἐν ἐμοὶ ἁγιασθήτω τὸ ὄνομά σου, ὅπως ἴδωσιν οἱ ἄνθρωποι
τὰ καλὰ ἔργα μου, καὶ δοξάσωσί σε τὸν πατέρα καὶ ποιητήν μου.
Ἐλθέτω ἡ βασιλεία σου. Ἡ βασιλεία τοῦ θεοῦ, τὸ πνεῦμά
ἐστι τὸ ἅγιον ὡς λέγει ἡ βασιλεία τῶν οὐρανῶν, ἐντὸς ἡμῶν ἐστί.
τῷ πνεύματι γὰρ τῷ ἁγίῳ σὺν πατρὶ καὶ υἱῷ τὸ βασιλεύειν πρέπει,
τῷ ἁγιάζοντι καὶ φωτίζοντι τὰς νοερὰς καὶ ἀγγελικὰς δυνά-
μεις, καὶ οὐρανίους στρατιάς, καὶ πάντα ἄνθρωπον ἐρχόμενον εἰς
τὸν κόσμον, καὶ πιστεύοντα εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ
καὶ τοῦ ἁγίου πνεύματος. ἀληθῶς βασιλεὺς γῆς, ὁρατῶν καὶ ἀοράτων.
ἀλλ' ὥσπερ πόλις κυκλωθεῖσα ὑπὸ ἐχθρῶν ζητεῖ τὴν τοῦ βα-
σιλέως βοήθειαν, οὕτω καὶ ἡμεῖς κυκλωθέντες ὑπὸ τῶν ἐναντίων
δυνάμεων καὶ τῶν ἁμαρτιῶν, ζητοῦμεν παρ' αὐτοῦ βοήθειαν,
ἵνα λυτρώσηται ἡμᾶς. Τὸν βασιλέα καλεῖς, νοοῦ ὡς πιστὸς
στρατιώτης, ἵνα ἀρέσῃς τῷ βασιλεῖ τῷ στρατολογήσαντί σε.
καὶ τί γὰρ οὐκ ἔστι βασιλεὺς ὁ θεός, ὅτι μέλλει ἔρχεσθαι ἡ βασι-
λεία αὐτοῦ; ναὶ βασιλεὺς πάντων ἐστίν. ἀλλ' ὥσπερ πόλις κυ-
κλωθεῖσα ὡς εἴρηται. Καὶ κατὰ ἄλλον τρόπον.
Ἐπειδὴ ὁ προφήτης λέγει. ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη, τῷ
παρεληλυθότι χρόνῳ ὡς μέλλοντι χρησάμενος, χάριν τού-
του κράζομεν, ἐλθέτω ἡ βασιλεία σου ἐφ' ἡμᾶς τὰ ἔθνη καί.
Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.
Τὸ θέλημα τοῦ θεοῦ καὶ πατρός, ἡ οἰκονομία τοῦ υἱοῦ αὐτοῦ ἐστίν.
Οἱ ἄγγελοι ἐν οὐρανῷ, ἐν ὁμονοίᾳ καὶ συμφωνίᾳ ὑπάρχουσιν,
οὕτω ζητοῦμεν καὶ ἡμεῖς ἐν ἀγάπῃ ἀνυποκρίτῳ γενέσθαι. ὁ ποῖον
θέλημα ζητεῖς ἐν οὐρανῷ γίνεται, τὸ ἐν τῇ γῇ δεῖ σε πληρῶ-
σαι. τὸ δὲ νόημά ἐστιν οὕτως. Κύριε ὥσπερ ἐγένετο ἐν τῷ οὐρανῷ
τὸ θέλημά σου, καὶ εἰσὶ πάντες οἱ ἄγγελοι ἐν εἰρήνῃ, καὶ οὐκ
ἔστιν ἐν αὐτοῖς ὠθῶν καὶ ἀντωθούμενος, οὔτε θλίβων καὶ
θλιβόμενος, οὔτε πολεμῶν, καὶ πολεμούμενος, ἀλλὰ πάν-
τες ἐν γαλήνῃ βαθείᾳ δοξάζουσί σε, οὕτω καὶ ἐν ἡμῖν τοῖς
ἐπὶ γῆς ἀνθρώποις γενηθήτω τὸ θέλημά σου. ἵνα πάντα τὰ
ἔθνη ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζωμέν σε τὸν ποιη-
τὴν καὶ πατέρα πάντων ἡμῶν.

Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Ὁ ἄρτος ὁ ἐπιούσιός ἐστιν ὁ Χριστὸς, ὁ ὢν καὶ πρὸ ὢν, καὶ μένων εἰς τοὺς αἰῶνας. ὁ ἑκουσίως ἐσθιόμενος, καὶ ἀδαπάνητος διαμένων ἀεὶ, καὶ διδοὺς ζωὴν τῷ κόσμῳ. ὃν διὰ τοῦ βαπτίσματος δεξάμενοι, τοῦτον λαβεῖν πάντοτε καὶ ἔχειν καὶ ἐσθίειν αἰτούμεθα. τὸν πρέποντα τῇ οὐσίᾳ ἡμῶν, ὥσπερ ἐστὶν ἀρκοῦν ἡμῖν, ἵνα μὴ πενόμενοι καὶ λιμῷ τηκόμενοι, εἰς βλασφημίαν τραπῶμεν. ἢ περιττεύοντες, ἐπαρθῶμεν καὶ ἀπορρίψωμεν ἀπὸ σοῦ. Ἄρτον ἐὰν ζητῇς, χρυσίον μὴ σώρευε. εἰ δὲ λείπῃ καὶ στερῇ, προτρεψάτω σε ζητῆσαι. ἐπιούσιον ἄρτον αἰτούμεθα λαβεῖν, ἐπειδὴ ὁ πᾶς ἄνθρωπος, ἐκ δύο οὐσιῶν συνίσταται, ψυχῆς τε λέγω καὶ σώματος, καὶ διὰ τοῦτο ἐφ᾽ ἑκάστῃ οὐσίᾳ, τὸν πρέποντα ἄρτον αἰτούμεθα. ἄρτος μὲν γὰρ σώματος, οὗτος ὁ ἐσθιόμενος. ἄρτος δὲ ψυχῆς, λόγος θεοῦ. ἄνοιγε τέκνον τὸ στόμα καὶ συχνότερον μνημόνευε θεοῦ μᾶλλον, ἢ ἀναπνεῖ. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν. Συγχώρησον ἡμῖν τὰ ἁμαρτήματα ἡμῶν, λέγοντες, ὥσπερ ἡμεῖς τοῖς πταίουσιν ἡμῖν. καὶ εἰ οὕτω ποιοῦμεν, καὶ αὐτὸς ἡμῖν οὕτω ποιήσει. Ἐὰν ἀφῆκες τινὶ, ζήτει. ἐὰν ἔλυσας ἀδελφὸν ἀπ᾽ ἔχθρας, παρακάλει. εἰ δὲ μνησικακίαν ἔχεις, ποίαν ἄφεσιν ζητεῖς; Ἡ δὲ ἐπίλυσίς ἐστιν οὕτως, ὡς φέρε εἰπεῖν. Κύριε ἄφες ἡμῖν τὰ χρέη ἡμῶν, τουτέστι τὰς ἁμαρτίας ἡμῶν, καὶ τὰ πταίσματα, ὡς καὶ ἡμεῖς ἀφίεμεν πᾶσι τοῖς ἁμαρτάνουσιν καὶ πταίουσιν εἰς ἡμᾶς ἀδελφοῖς ἡμῶν, ἐλευθέροις τε καὶ δούλοις, καὶ πᾶσι τοῖς ὑποχειρίοις ἡμῶν. Ταῦτα λέγων ἄνθρωπε, ἐὰν οὕτω ποιῇς, ἐννοήθητι. Ὅτι φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. καὶ διορθωσάμενος, ἐπίστρεψον πρὸς τὸν θεὸν καὶ πατέρα καὶ ποιητήν σου.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν. ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἡμεῖς δέσποτα ἐσμὲν ἄξιοι πάσης κολάσεως, καὶ παρακαλοῦμεν μὴ παραδώσῃς ἡμᾶς εἰς χεῖρας ἐχθίστων ἀνθρώπων, καὶ πονηρῶν δαιμόνων, πρὸς τὸ κολάσαι ἡμᾶς, ἀλλὰ σὺ κύριε ἡμᾶς παίδευσον. ὅτι ὡς ἡ φιλανθρωπία σου, οὕτω καὶ ἡ παιδεία σου. Τί γὰρ ὁ θεὸς εἰσάγει ἄνθρωπον εἰς πειρασμόν; μὴ γένοιτο.

οὐ γάρ αἴτιος τῶν κακῶν ὁ θς. ἀλλὰ παρακαλέσωμεν αὐτὸν, ἵνα τοῖς πολλοῖς αὐτοῦ οἰκτιρμοῖς, μὴ ἐάσῃ ἡμᾶς πειρασθῆναι.

Καὶ ἐὰν ζητήσῃ ἡμᾶς ὁ σατανᾶς σινιάσαι ὡς τὸν σῖτον, ὥσπερ καὶ τοὺς ἁγίους σου ἀποστόλους ἐξῄτησε μὲν, ἀπέτυχε δὲ, ἢ ὡς τὸν πάλαι Ἰὼβ, μὴ δώσῃς αὐτῷ ἐξουσίαν καθ' ἡμῶν. ἀλλ' εἰ καὶ πονηρὸς αὐτὸς θελήσει ἡμᾶς πειράσαι, μὴ δώσῃς ἡμᾶς τῷ θελήματι αὐτοῦ, ἀλλὰ σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ πρς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνς. Σοῦ γάρ ἐστιν ἡ ἐξουσία καὶ ἡ κυρεία τοῦ ἐλεεῖν καὶ σώζειν, τοῦ θανατεῖν καὶ ζωογονεῖν, τοῦ πρς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνς, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Κύριε ἐπειδὴ σή ἐστιν ἡ βασιλεία, μὴ ἐάσῃς ἡμᾶς φοβηθῆναι ἑτέραν βασιλείαν, μήτε δύναμιν μήτε δεσποτείαν. Ἀλλ' εἰ καὶ ἄξιοι ἐσμὲν κολάσεων διὰ τὰς ἁμαρτίας ἡμῶν, σὺ ἡμᾶς οἵῳ τρόπῳ θέλῃς τιμώρησον. καὶ μὴ παραδῷς ἡμᾶς εἰς χεῖρας αὐτῶν. ἐμπεσούμεθα δὲ εἰς χεῖρας σάς. ὅτι ὡς ἡ μεγαλωσύνη σου, οὕτω καὶ τὸ ἔλεός σου πάτερ παντοκράτορ.

Εἰρήνη πᾶσιν. Ἤρεμον τὸν νοῦν ἕξοιμεν πάντες.

Τὰς κεφαλὰς ὑμῶν. Τὰς διανοίας ὑμῶν σὺν τοῖς ἔργοις τῷ κῷ ἐπιστρέψωμεν. δεόμενοι τὰ προκείμενα δῶρα εἰς ἀγαθὸν ἐξομαλίσαι κατὰ τὴν χρείαν ἑκάστου.

Εὐχαριστοῦμεν δὲ. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου. Εἶτα βοᾷ ὁ ἱερεὺς τοῖς πᾶσι λέγων.

Ὅτι ἐγὼ αὐτὸς εἰμὶ ὁμοιοπαθὴς ὑμῖν, μὴ γινώσκων ἑκάστου ὑμῶν τὰ ἔργα. Ὁρᾶτε πῶς καὶ γίνεσθε ἅγιοι, ὅτι ὁ χς ὃν μέλλετε μεταλαβεῖν, ἅγιος ἐστι, καὶ ἐν ἁγίοις ἀναπαυόμενος.

Τὰ ἅγια τοῖς ἁγίοις. Τοῖς ἀμνησικάκοις καὶ καθαροῖς τῇ καρδίᾳ ἀξιοῖ ὁ θεὸς δοῦναι τὰ ἅγια. Ἁγίους λέγει, τοὺς κεκαθαρμένους ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἔχοντας πίστιν εἰλικρινῆ εἰς τὰ ἅγια. Ὁ λαὸς ὁμολογεῖ καὶ λέγει.

Εἷς ἅγιος, εἷς κς Ἰς χς εἰς δόξαν θῦ πρς, Ἀμήν. Εἷς ἅγιος καὶ θς ἀναμάρτητός ἐστιν ὁ κς ἡμῶν Ἰς χς σὺν θῷ πρὶ καὶ ἁγίῳ πνὶ, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἄλλως. Θεὸν λέγει, τὸν ἐν ἁγίοις ὑμνούμενον.

Τὸ δὲ συγκαλύπτεσθαι διὰ τῶν πτερύγων, τοιάσδε καὶ τοιάσδε θέσιν, κατὰ τὴν τοῖς θεόπταις ὁραθεῖσαν ὄψιν. Ἢ διὰ τὸ τριαδὸν μᾶλλον τοῦ ἁγιασμοῦ κρυφίως τὸν ἀριθμὸν ὑπαινίττεσθαι τῶν ὑποστάσεων, καὶ τὸ μοναδικὸν ὁμοίως τῆς ἐξουσίας καὶ φύσεως καὶ θεότητος, τῇ μοναδικῇ τῆς κυριότητος. δοξάζεται δὲ διὰ τοῦ ἅγιος ἅγιος ἅγιος, καὶ ὁ τῶν τριῶν προσώπων ἁγιασμός. πάλιν ὁρᾶται, καὶ ἡ κυριότης τῆς μιᾶς φύσεως ὑμνεῖται. ἤτοι ὁ ἐν τριάδι θεός, τρισὶ σεραφικοῖς ἁγιασμοῖς δοξάζεται, καὶ εἰς μίαν συνιοῦσι καὶ συνδεδεμένοις κυριότητα τῆς φύσεως καὶ θεότητος. τὸ δὲ τριαδὸν τῶν ἁγιασμῶν, τὰς τρεῖς ὑποστάσεις αἰνίττεται, καὶ ἡ κυριότης τὸ μοναδικὸν τῆς μιᾶς ἐξουσίας τε καὶ φύσεως. τὸ γοῦν συγκαλύπτεσθαι, τὸ ἄγνωστον καὶ κρύφιον διὰ τῆς τῶν πτερύγων συμπτύξεως ὑποδηλοῖ τῆς θεότητος.

Ὅταν γὰρ εἴπῃ τὰ ἅγια τοῖς ἁγίοις. τοῦτο λέγει, περὶ τῶν καθαρῶν καὶ ἁγίων. τῶν γὰρ ἁγίων, οὐχὶ τῶν ἁμαρτημάτων, ἀλλὰ τῶν ἀγαθῶν ἔργων πλοῦτος.

Ἡ δὲ ὕψωσις τοῦ τιμίου σώματος εἰκονίζει τὴν ἐπὶ τοῦ σταυροῦ ὕψωσιν, καὶ τὸν ἐν αὐτῷ θάνατον, καὶ αὐτὴν τὴν ἀνάστασιν.

Τὸ δὲ ὑψῶσαι τὸν ἱερέα τὸν θεῖον ἄρτον, καὶ τύπον σταυροῦ τρὶς ποιῆσαι ἐν τῷ ἀέρι μετὰ τοῦ τιμίου καὶ ζωοποιοῦ ἄρτου, τοῦτο αἰνίττεται. ὁ μὲν εἷς σταυρὸς ὁ τυπούμενος ἄνω, ἁγιασθῆναι δηλοῖ τὸν ἄνω αἰθέρα. ὁ δὲ μέσος τὸν ἀέρα. ὁ δὲ κάτω, ὁ ἐπάνω καὶ πλησίον τοῦ δίσκου, τὴν γῆν, ἐν ᾗ καὶ τὸ ζωοποιὸν ἐκεῖνο τοῦ Χριστοῦ σῶμα ἐτάφη. τὸ δὲ ἐν τῷ ποτηρίῳ ποιῆσαι τύπον σταυροῦ, καὶ αὐτὸν τρίτον, ἁγιασθῆναι δηλοῖ τὸν περατώτατον ἅπαντα κόσμον, παρὰ τῆς θείας ἐνσάρκου οἰκονομίας καὶ παρὰ αὐτοῦ τοῦ ζωοποιοῦ πάθους Χριστοῦ τοῦ θεοῦ. καὶ ὁ Χριστὸς Ἰησοῦς σταυρούμενος, κατὰ δύσιν μὲν ἦν βλέπων. αἱ δὲ τίμιαι αὐτοῦ χεῖρες, ἡ μὲν ἐν τῇ μεσημβρίᾳ, ἡ δὲ ἐν τῇ ἄρκτῳ ἐκπεταμένη ἦν. τὸ δὲ κατὰ ἀνατολάς, κατὰ τὸν λέγοντα. ὁ θεὸς ἀπὸ θαιμὰν ἥξει. ἐπεὶ αὐτός ἐστιν ὁ νοητὸς ἥλιος τῆς δικαιοσύνης, καὶ ἀνατολὴ ὄνομα αὐτοῦ. καὶ διὰ τὸ καραδοκεῖν ἐκεῖσε τὴν ἀΐδιον ἀπόλαυσιν καὶ τὴν ἀνάστασιν. Τὸ δὲ τρεῖς σταυρούς, τὸ τῆς ἁγίας τριάδος μυστήριον

δηλοῖ. ἐπειδὴ μὲν ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, εὐδοκίᾳ τῆς συναϊδίου θεοῦ καὶ πατρός. συνεργείᾳ δὲ τοῦ ἁγίου πνεύματος. διὰ τοῦτο καὶ ὁ λαὸς βοᾷ, εἷς ἅγιος εἷς κύριος Ἰησοῦς Χριστός. ἅγιον μὲν καὶ κύριον λέγων, τὸν ἐν τριάδι ὑμνούμενόν τε καὶ δοξαζόμενον θεόν. τὸ δὲ τριαδὸν τῶν ἁγιασμῶν, τὰς τρεῖς ὑποστάσεις δηλοῖ καὶ αἰνίττεται.

Τὸ δὲ ὑψῶσαι τὸν θεῖον ἄρτον μόνον, τοῦτό ἐστιν. ἐπεὶ αὐτός ἐστιν ὁ βασιλεὺς κύριος, καὶ αὐτός ἐστιν ἡ κεφαλὴ κατὰ τὸν ἀπόστολον, τὰ δὲ ἄλλα τίμια δῶρα μέλη Χριστοῦ, καὶ σῶμα Χριστοῦ. ἤγουν τοῦ τιμίου σώματος Χριστοῦ τοῦ θεοῦ. ἐκεῖνο γάρ ἐστι μόνος, ἐν ᾧ τυποῦται καὶ δείκνυται τὸ θεῖον καὶ ζωηφόρον πάθος, τοῦ τυθέντος ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ἐπειδήπερ αὐτὸς μόνος ὁ θεῖος ἄρτος, σφάττεται μὲν, καὶ ὡς ἀμνὸς θύεται. τὰ δ᾽ ἄλλα τῶν θείων δώρων οὐ λογχεύονται μετὰ τῆς λόγχης σταυροειδῶς. ἀλλ᾽ ὡς μέλη καὶ μέρη σώματος, μερίζονται καὶ κατασφάττονται. μετέχων οὖν ἐκεῖνος ὁ θεῖος ἄρτος ἁγιασμοῦ, μεταδίδωσι καὶ τοῖς ἄλλοις τιμίοις δώροις. ὁμοίως καὶ τῷ ποτηρίῳ μεταδίδωσι τοῦ ἁγιασμοῦ καὶ τῆς χάριτος.

Μετὰ δὲ τὴν ὕψωσιν, εὐθὺς ὁ μερισμὸς τοῦ θείου ποιεῖται σώματος. ἀλλὰ κἂν μερίζηται, ἀμέριστος διαμένει καὶ ἄτμητος, ἐφ᾽ ἑνὶ ἑκάστῳ μέρει τῶν τεμνομένων ὅλος γνωριζόμενός τε καὶ εὑρισκόμενος. εἰ γὰρ καὶ φθορὰν ὑπέστη τῷ θανάτῳ, ἀλλ᾽ ἡ σὰρξ αὐτοῦ ἐν τῷ ᾅδῃ οὐκ εἶδε διαφθοράν.

Τότε δὲ κομίζεται ὕδωρ θερμότατον εἰς μικρὸν λεβητάριον, καὶ κερνῶσιν ἐξ αὐτοῦ τὰ προκείμενα τῇ θείᾳ τραπέζῃ, εἴτε κρατῆρες, εἴτε ποτήρια εἰσίν. ἵν᾽ ὥσπερ ἐκ ζώσης προῆλθον τῆς θείας πλευρᾶς ἀμφότερα θερμότητος πεπληρωμένα, οὕτω δὴ καὶ τὸ ὕδωρ θερμότατον ἐν τῷ καιρῷ τῆς μεταλήψεως ἐπεμβαλλόμενον, πλεῖστον τὸν τύπον τοῦ μυστηρίου ἀναπληροῖ τοῖς μεταλαμβάνουσι τῇ θηλῇ τοῦ ποτηρίου, ὡς αὐτῇ τῇ ζωοπαρόχῳ πλευρᾷ ψαύουσι. ταῦτα καὶ θύρα τίς ἐστι, πρὸς τὴν τῆς τριάδος πίστιν τε καὶ ἐπίγνωσιν. καὶ τοῦτο ὁ μέγας Ἰωάννης καὶ θεολόγος παρίστησι, τοῖς τρισὶ τούτοις μάρτυσι, τῆς σωτηρίου πίστεως καὶ δυνάμεως ἐπιστηρίζων τὸν λόγον. τρεῖς εἰσὶν οἱ μαρτυροῦντες τὸ πνεῦμα τὸ ὕδωρ καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν.

Ἡ δὲ μετάληψις δηλοῖ, καὶ τὴν πρὸ τοῦ πάθους ἐπὶ τοῦ μυστικοῦ δείπνου μετάδοσιν τοῦ ἄρτου καὶ τοῦ καινοῦ ποτηρίου. περὶ οὗ εἶπεν ὁ σωτὴρ ἡμῶν, οὐκέτι ἐκ τούτου πίω, ἄχρις ὅτου πίω αὐτὸ καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. ὃ καὶ ἔπιε μετὰ τὴν ἀνάστασιν ξένως ὁμοῦ καὶ καινοπρεπῶς. οὐ γὰρ ὡς χρείαν τηνικαῦτα τοῦ σώματος ἔχοντος τροφῆς, ἀλλ' εἰς πληροφορίαν τῶν μαθητῶν τῆς ἀναστάσεως ἕνεκα.

Τὸ δὲ μεταλαβεῖν τὸν ἱερέα μόνον τὸν θεῖον ἄρτον, ἄνευ μὲν αἵματος, εἶθ' οὕτως μετασχεῖν τοῦ θείου αἵματος, οὐδὲν ἄλλο δηλοῖ, εἰ μὴ αἱματῶδες ἔτι εἶναι τὸν θεῖον ἀμνὸν, ἀπὸ τῆς θείας καὶ ζωηφόρου σφαγῆς, καὶ τοῦ νοητοῦ θύματος, ἣν ὁ ἱερεὺς ἐπεποιήκει μυστικῶς ἐν τῇ προθέσει.

Ἡ δ' εὐχὴ ἡ μετὰ τὸ μεταλαβεῖν τὸν ἱερέα. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας πάντων τῶν θλιβόντων με. Τὴν ἐπουράνιον λέγει τράπεζαν. τὸ μυστήριον τὸ ἀθάνατον. Τράπεζαν, τὸ ἄχραντον σῶμα. Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου. Τὸ ἔλαιον λέγει τῆς χάριτος τοῦ ἁγίου πνεύματος.

Καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον. Τὴν ἀθάνατον πόσιν λέγει, τοῦ θείου αἵματος. Ἄλλως.

Ποτήριον, τὸ τίμιον αἷμα. καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ κυρίου εἰς μακρότητα ἡμερῶν, εἰς τὴν ἄνω ἱερουσαλήμ.

Οἶκος ὁ οὐρανὸς, καὶ ἡ ἐκκλησία, καὶ ἡ σιών.

Μετὰ φόβου θεοῦ καὶ πίστεως καὶ ἀγάπης, προσέλθετε χριστῷ τῷ θεῷ καὶ βασιλεῖ ἡμῶν. Δεῖ οὖν φόβον ἔχειν ἡμᾶς καὶ ἀγάπην ἐν καιρῷ τῶν μυστηρίων, καὶ μετὰ πίστεως προσελθεῖν. ὅτι κἂν μυρία δηλαδὴ δικαιώματα ἔχωμεν, καὶ μνησίκακοι ἐσμὲν, οὐδὲν ἐξ αὐτῶν σείρας λέγει, καρπώσασθαι δυνησόμεθα. διὰ τοῦτο καὶ φόβον δεῖ ἔχειν καὶ ἀγάπην ἐν καιρῷ τῶν θυσιῶν, οὐδὲν γὰρ ἄλλο ἐμνημόνευσε δικαιοσύνης, εἰ μὴ τὴν ἀγάπην. αὐτὸς γὰρ ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ, εἰρήνης πρόξενον παντὶ τῷ πιστεύοντι, καὶ τὸ τίμιον αὐτοῦ σῶμα καὶ αἷμα μετὰ φόβου καὶ πίστεως δέδωκεν.

Ὀρθοὶ οἱ μεταλαβόντες τῶν θείων ἀχράντων ἀθανάτων. Τουτέστιν ὀρθῇ τῇ διανοίᾳ ζωῇ τοῖς ἔργοις στῶμεν μεταλαβόντες, καὶ

ἀξίως αὐτῷ εὐχαριστήσωμεν. Ὅτι ἠξίωσεν ἡμᾶς τῶν θείων μυστηρίων γεύσασθαι. καὶ ἐν τῇ παλιγγενεσίᾳ σὺν αὐτῷ αὐλισθῆναι. Ἀμήν. Ἄλλο. Οἱ μεταλαβόντες τῆς ζωοποιοῦ θυσίας, ἢ οὐσίας, ἀπὸ τῶν γηΐνων πρὸς τὰ οὐράνια διορθώσωμεν τὸν νοῦν, καὶ ἀξίως τῷ Χριστῷ εὐαρεστήσωμεν. Ὅτι ἠξίωσεν ἡμᾶς μεταχεῖν τοῦ τιμίου σώματος καὶ αἵματος αὐτοῦ. οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, καὶ τῆς ἐν τῇ παλιγγενεσίᾳ θεοφανείας, χάριτι αὐτοῦ. Τί δὲ ἐστὶ παλιγγενεσία, τὸ ἐκ δευτέρου γεννηθῆναι, καὶ ἀνακαινισθῆναι.

Ἡ δὲ ἄρσις τῶν καταλειφθέντων θείων λειψάνων, τὴν ἀνάληψιν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ὑπαινίττεται. Ὁ δὲ πλούσιος θυμιατὸς, τὴν χάριν τοῦ ἁγίου πνεύματος, τὴν διὰ ἐμφυσήματος δοθεῖσαν τοῖς ἀποστόλοις μετὰ τὴν ἀνάστασιν.

Ἡ δὲ ὀπισθάμβωνος εὐχὴ, οἱονεὶ σφραγίς ἐστι πάντων τῶν αἰτημάτων, καὶ ἀνακεφαλαίωσις τακτικὴ, πρέπουσα τοῖς πρώτοις καὶ τιμιωτέροις ἐπιλόγοις. ἐπειδὴ γὰρ πᾶσα ἡ θεία ἱερουργία, προηγουμένως μὲν, ὑπὸ τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον τελεῖται, ἔπειτα καὶ ὑπὸ πάντων τῶν διαλειφθέντων. κατὰ τοῦτο ἐν τῷ τέλει, τάξιν ἐπιτίθησιν τὴν ἑκάστης πρέπουσαν ἐκφωνουμένης εὐχῆς, ἐπειδὴ γάρ τινες, τῶν ἔξω τοῦ θυσιαστηρίου ἑστώτων, εἰς ἀπορίαν πολλάκις χωροῦσι, γνωσιμαχοῦντες καὶ λέγοντες, τίς ἄρα ὁ σκοπὸς, καὶ ἡ τῶν παρὰ τοῦ ἀρχιερέως ὑποψιθυριζομένων εὐχῶν ἔννοιά τε καὶ δύναμις, καὶ ἐφίενται εἴδησιν τινὰ καὶ τούτων καταλαβεῖν, κατὰ τοῦτο οἱ θεῖοι πατέρες, ὡς ἀνακεφαλαίωσιν πάντων τῶν διὰ τῶν εὐχῶν αἰτουμένων, τὸν χαρακτῆρα ταύτης ἐποιήσαντο, διδάσκοντες τοὺς ἐπιζητοῦντας, ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα.

Ὁ δὲ τοῦ παρθενικοῦ σώματος τύπος, ὁ μερισμὸς τῆς εὐλογίας καὶ προσφορᾶς, κλᾶται μὲν ὡς ἄρτος, διανέμεται δὲ ὡς ἀρρήτου εὐλογίας μετάληψις τοῖς μεταλαμβάνουσι μετὰ πίστεως, ὡς προσφορὰ δὲ τοῖς συνοχέσι πλήρης ἀπωσύνης, ἐκ τῶν ἁγίων ἀντιπροφέρεται. καὶ οὕτως ἀπὸ μὲν τῆς μεταλήψεως τοῦ ἀχράντου σώματος, τοῦ ἐξ αὐτοῦ πεχθέντος Χριστοῦ τοῦ θεοῦ ἡμῶν, καὶ τοῦ τιμίου αἵματος, ὁ ἁγιασμὸς καὶ ἡ υἱοθεσία τοῖς πιστοῖς παραγίνεται. ἡ δὲ πνευματικὴ εὐλογία, καὶ ἡ ἄλλη τῶν ἀγαθῶν χορηγία, τῷ τῶν χριστιανῶν γένει, ἐκ τῆς διανομῆς τοῦ ἄρτου τοῦ σώματος τοῦ θεοῦ γίνεται καὶ πιστεύεται.

Ὁ μὲν θεόπτης ἐκεῖνος μωυσῆς, πάλαι αἵματα τράγων καὶ μόσχων ἐρράντιζε τὸν λαόν, λέγων. τοῦτο τὸ αἷμα τῆς διαθήκης κυρίου ἐστίν. Ὁ δὲ Χριστὸς καὶ θεός, τὸ ἴδιον σῶμα δέδωκε, καὶ τὸ ἴδιον αἷμα ἐξέχεε. καὶ ἐκέρασε τὸ καινῆς διαθήκης πόμα, λέγων. τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τὸ αἷμά μου, τὸ κλώμενον καὶ διαχεόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ὥστε ὁσάκις ἐσθίετε τὸν ἄρτον, καὶ τὸ ποτήριον τοῦτο πίνετε, τὸν θάνατον καὶ τὴν ἀνάστασίν μου ὁμολογεῖτε, καὶ οὕτω λοιπὸν μετὰ τοιαύτης ἐννοίας, ἐσθίομεν τὸν ἄρτον καὶ τὸ ποτήριον πίνομεν, ὡς σάρκα καὶ αἷμα τοῦ υἱοῦ τοῦ θεοῦ τὸν θάνατον καὶ τὴν ἀνάστασιν ὁμολογοῦντες τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

Τέλος.

Εἴ τις εἰς ἐνιαυτοὺς δέκα ταυτασὶ τὰς θείας λειτουργίας ἐντυπῶσαι τολμήσει, ἢ ἀλλοθέν ποθεν ἐντετυπωμένας ὠνίας ἔχειν, ἐκ τοῦ προνομίου τοῦ Μακαριωτάτου ἄκρου ἀρχιερέως Κλήμεντος ἑβδόμου ζημιωθήσεται.

Ἐν ῥώμῃ χιλιοστῷ φ κ ς´. Μηνὸς ὀκτωβρίου.
Δεξιώτητι Δημητρίου Δουκᾶ τοῦ κρητός.

Α Β Γ Δ Ε Ζ Η Θ Ι Κ Λ Μ Ν Ξ Ο Π Ρ Σ.
Ἅπαντα διάδια.

CLEMENS PAPA VII.

VNIVERSIS & singulis ad quos hæ nostræ literæ puenerint salutē & apostolicā bñdictionē, Cū dilect⁹ filius Demetrius Ducas Cretēsis græcarū literarū in alma urbe nostra Roma publicus professor, libros græcos nō= nullos q nondū impressi uestutate corrosi & mēdis corru pti sunt, emēdādi & imprimēdi uel imprimi faciēdi ad cō munē studiosorū & literatorū utilitatē multa cū diligētia & labore suaq; etiā impēsa curā susceperit. Proxime autē Missas græcas & alia eodē uolumine uel libro cōtēta nō= nulla, quæ iniuria tēporū dissipata & depdita hucusq; fue rūt, eadē diligētia & impēsa sua in pristinū decorē restitue rit imprimiq; fecerit. Nos æquū esse cēsētes, ut ex uirtutū & laborū hmōi suorū meritis, aliquē gratiæ fructū a no= bis cōsequat̄. Oībus & singulis librorū impssorib⁹ qcūq; & ubicūq; Christianitatis locorū illi fuerint, ipsāq; impri mēdi artē quouis mō exercuerint, aut exerceri curauerīt, sub excōicationis latæ sentetiæ, Nostris uero & S. R. E. mediate uel immediate subiectis, pecuniariis prȩterea no stro arbitrio imponēdis & cameræ apostolicȩ applicādis, ac amissionis omniū librorū pœnis p præsentes expresse inhibemus, ne dictas Missas græcas, & quæ cū eis cōiun ctim impssa sūt, p spatiū annorū sex a tpe huius ipsius pri mȩ impssionis cōnumerādorū imprimere aut imprimi fa cere, ullo mō audeāt uel præsumāt. Decernētes ex nūc au ctoritate apostolica absq; alia declaratione, quicūq; cōtra hāc nostrā inhibitionē fecerint, dictā excōmunicationis sentētiā illico incursuros, ab eisdē uero nostris & Sanctæ Ro. Ec. subditis præter excōmunicationis incursionem, ipsas pecuniarū librorūq; amissionis pœnas p nostros & cameræ apostolicæ ministros & officiales, ad quos id spe ctauerit, integre & irremissibiliter exigi debere, put exigi uolumus & mādamus. In cōtrariū faciētibus nō obstāti= bus quibuscunq;. Datum Romæ apud Sanctū Petrū sub annulo piscatoris die XXVIII. Octob. MDXXVI. Pont. nostri Anno III.

Ia. Sadoletus.